AKROPOLIS WORLD NEWS

www.akwn.net

J. Coderch, M.A., Ph.D.

**Third Year**

**(October 2004 - June 2005)**

Towards the end of this third year (my second one in Oxford) I adopted another Greek font, the change will easily be observed; I changed the former one in italic style for a new one with straight characters.

I continued with the alternance between political news and articles disconnected from it.

**What really happened to the dinosaurs? - Rich countries debate debt relief - Mount St. Helens eruption warning**
(03-10-04)

*Τί δὴ ἐγένετο τοῖς δεινοσαυρίοις;*

*Λέγεται (ἀεὶ δὴ λέλεκται) ὅτι οἱ δεινοσαύριοι ἀπέθανον ἐπεὶ μέγας ἀστεροειδὴς λίθος ἐπὶ τὴν γὴν κατέπεσεν, νῦν δὲ ὁ ἐπιστήμων Μὰττ Φίλιππος τοῦ τῆς Ὀξφόρδης Πανεπιστημίου νομίζει τὸ μὲν μεγάλου τινός ἀστεροειδοῦς λίθου καταπέσημα συμβῆναι, τὴν δὲ τῶν δεινοσαυρίων ἐξαμαύρωσιν ἤδη πολλὰ ἔτη πάρος ἄρξασθαι.*

*οὕτως δὴ ὅ τι μὲν τοὺς δεινοσαυρίους οὐκ ἀπέκτεινε γιγνώσκομεν, οὐ μέντοι γιγνώσκειν δυνάμεθα ὅ τι αὐτοὺς ἀληθῶς ἀπέκτεινεν.*

*Αἱ πλουσιώταται χῶραι περὶ τοῦ χρέους διαλέγονται*

*Αἵ τε ΗΑΠ καὶ οἱ οἰκονομικοὶ σύμμαχοι βούλονται τὸ τῶν ἀχρηματωτάτων χωρῶν χρέος κουφίζειν, ὅπως δὲ τοῦτο δεῖ ποιεῖν οὐχ ὁμολογεῖται· ὅμως δὲ λέγουσιν πάντες ὅτι ἐὰν τοῦ χρέους συγγνόμην ἔχωσιν, αἱ ἀχρήμαται χῶραι αὖθις ἄλλους δανεισμοὺς δεῖσθαι οὐ δυνήσονται.*

*περὶ δὲ τοῦ Ἰρὰκ ὡς εἰκὸς μάλιστα διελέξαντο, αἱ μὲν γὰρ ΗΑΠ τὸ τοῦ Ἰρὰκ χρέος ἐξελεῖν βούλονται, οἱ δὲ Γερμανοὶ καὶ οἱ Γάλλοι οὐκ ἐθέλουσιν, λέγουσι γὰρ ὅτι ἐὰν τὸ τοῦ Ἰρὰκ χρέος ἐξέλωσιν, δεήσει καὶ ταὐτὸ ταῖς ἄλλαις χώραις παρέχειν.*

*Τὸ πυρίστακτον ὄρος Ἁγία Ἑλένη ὀνόματι ῥεῖν μέλλει*

*Οἱ ἐπιστήμονες διαβεβαιοῦνται ὅτι τοῦτο τὸ ὄρος, ἐγγὺς τῆς πόλεως Πόρτλανδ ἐν ταῖς ΗΑΠ κείμενον, μιᾶς ἡμέρας ῥεῖν μέλλει, τὸ γὰρ μάγμα ἔξω τῆς γῆς ἐκρεῖν πειρᾶται, πολὺ δὲ ἀέριον κατέχει· καὶ ἔνιοι μικροὶ σεισμοὶ ἐγένοντο ταύτης τῆς ἑβδομάδος, ὃ ἀεὶ κάκιόν τι σημαίνει.*

**Genghis Khan's palace found - EU commission backs Turkey talks**
(06-10-04)

*Τὰ τοῦ Γένγις Κὰν βασίλεια ηὕρηται*

*Ἰαπωνικὴ τε καὶ Μογγολικὴ ἀρχαιολογικὴ ὁμὰς τὴν βάσιν τὴν βασιλείων τινῶν ἐγγὺς τῆς Οὐλὰν βατὼρ ηὕρηκεν· κατὰ τὸ εἰκὸς ταῦτα τὰ βασίλεια ὁ τοῦ Γένγις Κὰν δόμος ἦν.*

*ὁ μὲν Γ. Κὰν τῆς τε δωδεκάτης καὶ τρισκαιδεκάτης ἑκατονταετηρίδος πολλὰ γένη συναρμόσας ἡγεμὼν τῶν Μογγόλων ἐγένετο, μετὰ δὲ τὸν θάνατον αὐτοῦ οἱ ἔκγονοι τὴν ἀρχὴν ἐκ τῆς Σίνης μέχρι τῆς Οὐγγαρίας ηὔξησαν. ἴσως δὲ ὁ τάφος αὐτοῦ ἐγγὺς τῶν βασιλείων κεῖται, οἱ γὰρ ἀρχαῖοι συγγραφεῖς μάλιστα τοῦτο διαβεβαιοῦνται.*

*Τὸ τῆς Εὐρωπαϊκῆς Ἑνώσεως συνέδριον τοὺς μετὰ τῆς Τουρκίας διαλόγους παρέχει*

*Τὸ Εὐρωπαϊκὸν συνέδριον εὐδόκιμον μὲν ποιήσει τὰς Εὐρωπαϊκὰς χώρας μετὰ τῆς Τουρκίας περὶ τὴν εἰς τὴν ὁμάδα ἐγγραφὴν διαλέγεσθαι, μόνον δὲ ἐὰν ἡ Τουρκία ἐνίας συνθήκας δέχηται· ὁ γὰρ Ῥομάνω Πρόδι, ὁ πρόεδρος τοῦ συνεδρίου, λέγει ὅτι ἡ μὲν Τουρκία εἰς τὴν δημοκρατίαν*

*προχωρεῖ καὶ νέας ἐποίησε τὰς δημοσίας κατασκευάς, ὅμως δὲ δεῖ ἔτι καὶ νῦν πολὺ ἐπὶ τὸ βέλτιον τὴν τῶν γυναικῶν ἰσονομίαν τρέπειν.*

*ἡ μὲν* Τουρκία *πειρᾶται* Εὐρωπαϊκὴν *χώραν νομίζεσθαι, τὰ δὲ πλεῖστα τῆς χώρας αὐτῆς ἐν τῇ* Ἀσίᾳ *κεῖται, ὃ πολλὰς ἀντιλογίας φέρει.*

**Boy 11 years old drives 300 km. - Howard triumphs in Australia**
(10-10-04)

<u>Παῖς ἕνδεκα γεγονὼς ἔτη τριακόσια χιλιόμετρα αὐτοκίνητον ἄγει</u>
Ὁ *παῖς, μόνον ἕνδεκα γεγονὼς ἔτη, τὴν κλεῖδα τὴν τοῦ αὐτοκινήτου λαβών, ἀπὸ τῆς* Κάνσας Πόλεως *μέχρι τὸ* Μακὸν, *ἐν τῷ ἐναντίῳ τοῦ* Μισσοῦρι *μέρει κείμενον, διῆλθεν, ἐπαύσατο δὲ ἐν τῇ ὁδῷ μόνον ἵνα σῖτον πρίαιτο καὶ καύσιμον εἰσθείη· ἐπεὶ δὲ πρῶτον εἰς τὸ* Μακὸν *ἀφίκετο, πρὸς τὸ τῆς πόλεως βουλευτήριον προσβὰς ἐκεῖ ὠφέλειαν ᾔτησεν· οἱ δὲ γονεῖς αὐτίκα πρὸς τὸ* Μακὸν *ἐλθόντες καὶ αὐτὸν λαβόντες πρὸς τὸν οἶκον προσήνεγκον.*

*καὶ μὴν οὐδεὶς οἶδε διὰ τί ὁ παῖς ἀπέφυγεν, ἡσυχῶς γὰρ εἰς τὸ διδασκαλεῖον ἐφοίτα καὶ παρὰ τοῖς γονεῦσι εὐαρμόστως ἐνῴκει.*

<u>Ὁ Ἰωάννης Ὥοναρδ ἐν τῇ Αὐστραλίᾳ νικᾷ</u>
Ὁ Ἰωάννης Ὥοναρδ *ἐνίκησε χθὲς τὸ τέταρτον ἐν ταῖς ἀρχαιρεσίαις, ἡ δὲ νίκη μείζων συνέβαινεν ἢ οἱ νικηταὶ αὐτοὶ ἤλπιζον· πρῶτον μὲν, τοῦ ἐν τῷ* Ἰρὰκ *πολέμου ἀρχομένου, τῷ* Ὥοναρδ *ἔδοξε δισχιλίους στρατιώτας ἐκεῖσε πέμψαι, καίπερ πολλῶν πολιτῶν ἀντιλεγόντων τε καὶ διαδηλουμένων· ὅμως δὲ ὁ* Αὐστραλιανὸς *πρόεδρος οὕτως ἔδρασεν· μετὰ δὲ ταῦτα, πρὸς τήν τε παιδείαν καὶ τὴν ὑγίειαν καὶ τὴν οἰκονομίαν τὸν νοῦν προσέχων, πολλὰ καὶ ἀγαθὰ ἐκτήσατο, τοῦ γὰρ* Ὥοναρδ *ἄρχοντος τὸ τῶν ἀπρακτούντων ἀριθμὸν μικρότατον ἐγένετο ἐκ τῶν τελευταίων εἴκοσι ἐτῶν.*

*καὶ δὴ καὶ οἱ ἐν ταῖς ἀρχαιρεσίαις διαφερόμενοι ἔλεγον ὅτι, εἰ νικῷεν, τοὺς στρατιώτας ἐκ τοῦ* Ἰρὰκ *μεταπέμψοιντο ἄν· διὰ δὲ τοῦτο αὕτη ἡ νίκη καὶ τῷ* Γ. Βοῦιξ *αὐτῷ νίκη ἐστίν, οὗτος γὰρ προαιρεῖται τοὺς* Αὐστραλιανοὺς *στρατιώτας ἐν τῷ* Ἰρὰκ *μένειν.*

**Telescope to peer at cosmic dark ages - Nigerian women to be stoned**
(13-10-04)

<u>Τελεσκοπεῖον πρὸς τὸν ἀρχαῖον χρόνον ὑποβλέψεται</u>
Ἐπὶ *ὑψηλοτάτῳ τοῦ* Μεξίκου *ὄρει* Ἀμερικανοί *τε καὶ* Μεξικανοὶ *μέγιστον τελεσκοπεῖον κατασκευάζουσιν, οἱ δὲ ἀστρονόμοι ἐπιστήμονες αὐτὸ τὰ κρυφαῖα τοῦ κόσμου μυστήρια ἀποδείξειν ἐλπίζουσιν.*

*τὸ δὲ τελεσκοπεῖον οὕτως ἰσχυρὸν ἔσται ὥστε οἷόν τ' ἔσται ἠλεκτρομαγνετικὰς πέμφιγας τότε*

*ἀποπεμφθεῖσας, ὅτε οἱ πρῶτοι ἀστέρες ἐγένοντο, λαβεῖν· καὶ γὰρ ἡ ταύτης τῆς κατασκευάσεως γνώμη τόδε ἐστίν, ἀκριβώτερον περὶ τοῦ πλανήτου ἐν ᾧ οἰκοῦμεν μανθάνειν, τά τ' ἄλλα καὶ δὴ καὶ περὶ τοῦ μάλιστα παρελθόντος χρόνου.*

***Δύο γυναῖκες τῆς Νιγερίας καταπρετωθήσεσθαι μέλλουσιν***

***Δύο γυναῖκας κατεγνώκασιν οἱ ἐν τῇ Νιγερίᾳ δικασταὶ ἅτε ἔξω τοῦ γάμου μετὰ ἀνθρώπων καθευδέσαντας· ἤδη δὲ πρὸ τοῦ μάλιστα διελέχθησαν πολλοὶ δημοσιογράφοι κατὰ πᾶσαν τὴν οἰκουμένην περὶ τῆς Ἀμίνα Λαῦαλ, ἐπεὶ τοῦ αὐτοῦ ἕνεκα κατεγνώσθη, κατὰ γὰρ τὴν Σαρίαν (τὸν ἰσλαμικὸν νόμον), δεῖ τὴν τοῦτο ποιήσασαν γυναῖκα ἀποθνῄσκειν· ὅμως δὲ αὗται αἱ θανάτου καταγνώσεις, πολλῶν χωρῶν πρὸς τοῦτο ἐνισταμένων, ὡς ἐπὶ πολὺ μεταστρέφονται.***

**UK considering Irak redeployment - Russian party for Pope anniversary**
(17-10-04)

***Ἡ Μεγάλη Βριτανία τοὺς ἐν τῷ Ἰρὰκ στρατιώτας ἄλλως διατάξαι βουλεύεται***

***Πρῶτον μὲν ὁ τῆς ἀμύνης Βριτανικὸς ὑπουργὸς Γεόφφρει Οὖν οὐδὲν ἀκριβὲς εἶπεν, ἔπειτα δέ, δημοσιογράφων πολλῶν ἐρωτώντων πότερον οἱ Βριτανικοὶ στρατιῶται ἄλλως διαταχθῆναι μέλλουσιν ἢ οὔ, εἶπεν ὅτι ὁ νέος τόπος οὔτε Βαγδὰδ οὔτε Φαχούλη ἔσοιτο.***

*ἐὰν γὰρ οἱ Ἀμερικανοὶ ἐπὶ τὴν πόλιν Φαχούλην προσβολὴν ποιῶσιν, οἱ Βριτανικοὶ στρατιῶται πρὸς βορέαν προσελεύσονται ἵνα ἐκείνοις διαδέχωνται· ὡς εἰκός, τοῦτο κινδυνευτικόν ἐστιν, τὸν γὰρ βορέαν οἱ στασιωτικοὶ κατέχουσιν· δεῖ τοιγαροῦν τὸν Βλαῖρ τὸ τοῦ τακτικοῦ πράγματος συμφέρον ἀκριβῶς ἀποβλέπειν, τοῦτο γὰρ ἐν γούνασι αὐτοῦ κεῖται.*

***Ῥοσσικὴ ἑορτὴ τῇ τοῦ Πάπου ἐνιαυσίᾳ***

***Τὸ Ῥοσσικὸν στράτευμα ἐχόρευσέ τε καὶ ᾖσα χθὲς τῷ Ἰωάννῃ Παύλῳ τῷ Δευτέρῳ ἅτε ἤδη εἴκοσι καὶ ἓξ ἔτη Πάπᾳ ὄντι· αὕτη δὲ ἡ ἑορτὴ πολὺ δύναται, εἰς γὰρ τὴν Ῥοσσίαν ὁ Πάπας οὐκέτι προσῆλθεν· διὰ τί; ἐρωτῶσι πολλοι· διότι αἱ διαστάσεις μεταξὺ τῶν καθολικῶν καὶ τῶν ὀρθοδόξων μεγίσται εἰσίν· καὶ δὴ καὶ αὕτη ἡ πορεία πολὺ πολιτικῶς δυναῖτο ἄν, οἷα τῆς ΕΣΚΔ μετὰ τὸν Δεύτερον Παγκόσμιον Πόλεμον τὴν Πολωνίαν δικτατορικῶς καταλαβούσης.***

**Two Greek manuscripts discovered in Montserrat (Catalonia) - Harry Potter, translated into Ancient Greek**
(20-10-04)

***Δύο ἀρχαία Ἑλληνικὰ χειρόγραφα ηὑρέθησαν ἐν τῷ Μοντσερρὰτ (ἐν τῇ Καταλονίᾳ)***

***Ἐν τῷ τοῦ Μοντσερρὰτ κοινοβίῳ, ἐγγὺς τῆς Βαρκελόνης, δύο ἀρχαία Ἑλληνικὰ χειρόγραφα ηὑρήκασι· ὁ μὲν ἕτερος, τῆς τρίτης ἑκατονταετίας γραφείς, πάπυρός ἐστιν ὁμηρικὸς στίχους τινὰς τῆς Ἰλιάδος (τῆς ῥαψῳδίας τετταρακαιδεκάτης) δεικνύς, ὁ δὲ ἕτερος, τῆς πρώτης ἑκατονταετίας πρὸ τοῦ Χρίστου γραφείς, ἐρείπιόν ἐστι μύθου.***

*τὸ ἐν τῷ Μοντσερρὰτ κοινόβιον τῇ τῶν Βενεδικτίνων τάξει προσήκει.*

*Ὁ Ἄρειος Ποτὴρ εἰς τὴν ἀρχαίαν ἑλληνικὴν γλῶτταν μεταπέφρασται*

*Δευτέραν ἤδη ἑβδομάδα ἡ πρώτη βίβλος τοῦ ὁρμαθοῦ τοῦ Ἀρείου Ποτῆρος μόνον τῇ ἀρχαίᾳ Ἑλληνικῇ γλώττῃ γραφεῖσα ἐξεδόθη· ἡ δὲ τῆς βίβλου ἐπιγραφὴ "Ἄρειος Ποτὴρ καὶ ἡ τοῦ φιλοσόφου λίθος" ἐστίν.*

*ὁ δὲ σοφώτατος ἑρμηνεύς, Ἀνδρέας Οὐίλσων ὀνόματι, Βρετανικός ἐστιν· αὕτη δὴ ἡ βίβλος χρησιμωτάτη ἔσται τοῖς τε διδασκάλοις καὶ τοῖς μαθηταῖς οἷς τῇ ἀρχαίᾳ Ἑλληνικῇ γλώττῃ χρωμένοις γράφειν ἀρέσκει· δῆλον, πῶς γὰρ οὔ, ὅτι μακαριστέον τὸν ἑρμηνέα.*

**Destroyer animals in paradyse - 48 Iraqis massacred**
(24-10-04)

*Ἀνατρεπτικὰ ζῷα ἐν τῷ παραδείσῳ*

*Ἐπικίνδυνα παρείσακτα εἰς παράδεισον ἐν τῇ Φλορίδᾳ ἐμβέβληκε καὶ τὸ κατὰ φύσιν βιοσύστημα διαφθερεῖν μέλλει· ταῦτα δὴ τὰ ζῷα πιτῶνες ὄφεις εἰσίν, μακρόταται δή, ἐν τῇ Βύρμᾳ γεγοννῖαι.*

*τὸ δὲ πέρυσι οἱ ζῳόλογοι τετταράκοντα ἐν τῷ παραδείσῳ ἔλαβον, ὅμως δὲ κατ' ἐνιαυτὸν ἔτι πλείονες ἐκεῖ οἰκοῦσιν· λέγουσι δὲ οἱ ζῳόλογοι ὅτι οἱ κροκόδειλοι κωλύσουσιν τὰς πιτῶνας ἔτι πλείονας γενέσθαι.*

*τετταράκοντα καὶ ὀκτὼ Ἰράκιοι ἀποτεθνήκασιν*

*Οἱ Ἰράκιοι στρατιῶται ηὑρήκασι τετταράκοντα καὶ ὀκτὼ νεκροὺς ἐν ὁδῷ τινι· οἱ δολοφόνοι τούτους τοὺς ἀνθρώπους ἐνεδρεύσαντες ἀπέκτειναν, τῆς νυκτὸς παρὰ τῷ ὅρῳ μεταξὺ τοῦ Ἰρὰκ καὶ τοῦ Ἰράν· τετταράκοντα καὶ τέτταρες στρατιῶται ἦσαν, τέτταρες δὲ ἁρματηλάται.*

*οἱ στρατιῶται, τὴν στρατιωτικὴν παιδείαν περάναντες, ἐπανήρχοντο πρὸς τὴν Βάσραν· ὁμὰς " συναγωγὴ καὶ Ὑιχὰδ " καλουμένη, διαβεβαιοῦται αἰτία γενέσθαι τῶν δολοφονιῶν.*

**New York subway system turns 100 - Friend to testify about O. J. Simpson**
(27-10-04)

*Τὸ ἐν τῇ Νέᾳ Ὑόρκῃ ὑπογεῖον σιδηροδρομικὸν σύστημα ἑκατονταέτες γέγονεν*

*Ὁ ὑπογεῖος σιδηροδρόμος Δ, κατὰ τὸ σύστημα ᾧ ἐν τῇ Νέᾳ Ὑόρκῃ τοὺς σιδηροδρόμους ὀνομάζουσιν, διὰ πάντα τὰ τῆς πόλεως (τῆς Μεγάλου Μήλου καλουμένης) μέρη διατρέχει· τήμερον δὲ ἤδη ἑκατὸν ἔτη διαμεμένηκεν.*

*ἐν μὲν τῷ πάλαι τὸ τούτῳ τῷ σιδηροδρόμῳ πορεύειν ὃς νῦν Δ καλεῖται ὀβολοῦ ἐτιμήσατο, ἐν δὲ τῷ νῦν χρόνῳ τὸ τῶν ὑπογείων σιδηροδρόμων σύστημα καθ' ἡμέραν τέτταρα καὶ ἥμισυ ἑκατομμύρια ἐπιβατῶν μεταφέρει· τὸ δὲ τῆς Νέας Ὑόρκῃ Μουσαῖον φωτογραφίων ἔκθεσιν διατέταχε περὶ τῆς ἑκατονταετίας μνησόμενον.*

*Φίλον τινὰ τοῦ Ο. Χ. Σύμψονα μαρτυρεῦσαι δεῖ*

*Οἱ δικασταὶ φίλον τινὰ τοῦ Σύμψονος εἰς τὸ δικαστήριον παρελθεῖν κεκελεύκασιν ἵνα περὶ τῶν κτημάτων τούτου, ὃς ἔνδοξος τῷ Ἀμερικανῷ ποδοσφαίρῳ ἀγωνιστὴς ἐγένετο, ἀγγέλλῃ· φυγὼν γὰρ δίκην διπλῆς δολοφονίας, εἰς μὲν τὸ δεσμωτήριον οὐκ ἐβλήθη, ἀναγκασθεὶς δὲ πολλὰ χρήματα τίνειν οὐκέτι ἔτεισεν· καὶ γὰρ οἱ τῶν ἀποθανόντων συνήθεις νῦν αὐτὸν ἀναγκάζειν τίνειν βούλονται· κατὰ τὸ εἰκὸς διαβεβαιοῦται ὁ Σύμψων ὅτι οὐδένα ἀπέκτεινεν.*

**Beheaded Japanese hostage found - Scottish town to pardon witches**
(31-10-04)

*Τὸν κεφαλοτομηθέντα Ἰαπωνικὸν αἰχμαλώτον ηὑρέκασιν*

*Ὁ τῶν Ἐξωτερινκῶν Ἰαπωνικὸς Ὑπουργὸς εἶπεν ὅτι τὸ τὴν κεφαλὴν ἀποτμηθὲν σῶμα ὃ τῷ Σαββάτῳ ηὑρέθη ἀληθῶς τοῦτο τοῦ Ἰαπωνικοῦ αἰχμαλώτου Σιώσει Κώδα ἦν· ὁ μὲν Κώδα τῇ τρίτῃ ταύτης τῆς ἑβδομάδος ἀπήχθη, οἱ δὲ ἀπάγοντες ἠπείλησαν τὴν κεφαλὴν αυτοῦ ἀποταμεῖν, εἰ ἡ Ἰαπωνία τοὺς στρατιώτας ἐκ τοῦ Ἰρὰκ μὴ ἐξάγοι.*

*ὁ Πρωθυπουργὸς εἶπε ὅτι ἡ μὲν Ἰαπωνία ταῖς τρομοκρατικαῖς ἀπειλαῖς οὐκ εἴξοι, δέοι δὲ ἔτι μᾶλλον τοῖς Ἰρακίοις πολίταις συμπράττειν ὅπως τὴν χώραν ἀνοικοδομήσουσιν· οἱ γὰρ ἐν τῷ Ἰρὰκ Ἰαπωνικοὶ στρατιῶται οὐ μὲν μεμάχηνται, μόνον δὲ φιλάνθρωπα ἔργα δεδράκασιν.*

*Σκοτσεζικὴ πόλις μαγγανευταῖς συγγνώμεν αἰτήσεσθαι μέλλει*

*Ἡ Σκοτσεζικὴ πόλις Πρέστονπανς ὀνόματι, ἅμα τὸ Ἄλλωουιν ἑορτῶσα, συγγνώμην αἰτήσεται τοῖς ὀγδοήκοντα καὶ ἑνὶ ἀνθρώποις ἅτε διὰ τὸ μαγγανεύειν ἀποθανοῦσι, τῇ γὰρ ἑκκαιδεκάτῃ καὶ τῇ ἑπτακαιδεκάτῃ ἑκατονταετίαις οὗτοι οἱ πολῖται, τῶν ἐν τέλει τὴν μαγγανείαν κατηγορούντων, καίπερ ἀναίτιοι ὄντες ἀδίκως ἀπέθανον.*

*ἐν δὲ τῇ Σκοτίᾳ τρισχίλιοι καὶ πεντακόσιοι πολῖται ταύτης τῆς κατηγορίας ἕνεκα ἀπέθανον, τῷ δὲ ὄντι ἡ τῆς καταδικῆς πρόφασις γελοία συνόλως ἦν, ἐπὶ παραδείγματος τὸ μέλαν αἴλουρον ἔχειν.*

**George Bush is reelected**
(03-11-04)

*Ὁ Γ. Βούιξ πάλιν πρόεδρος αἱρεῖται*

*Ὁ μὲν αὖθις πρόεδρος Γ. Βούιξ τὴν νίκην ἐκήρυξε, ὁ δὲ Ἰωάννης Κέρρι τὴν ἧτταν· ὅμως δέ, τοῦ τῶν ἀρχαιρεσιῶν ἀποβαίνοντος κηρυχθέντος, οἱ δύο μετερχόμενοι ἀλληλούς τε ἐμακάρισαν καὶ τοὺς πολίτας συμπράττειν παρώρμησαν ἵνα ἡ μὲν χώρα σαφέστερα γένοιτο, ἡ δὲ οἰκονομία πρὸς τὸ βέλτιστον ἐπιδιδοίη.*

*ὁ δὲ πρόεδρος Γ. Βούιξ εἶπε ὅτι ἐν τῷ ἐπικουρεῖν μενοῖ ταῖς νεωστὶ ἔν τε τῷ Ἰρὰκ καὶ τῷ Ἀφγανιστὰν γενομέναις δημοκρατίαις ἵνα οἱ στρατιῶται οἴκαδε δικαίως τιμώμενοι ἐπανελθῶσι.*

*ἐν μὲν ταύταις ταῖς ἀρχαιρεσίαις πλείονες πολῖται ἐψηφίσαντο ἢ ἐν αἷστισί ποτε ἄλλαις τὸ πρόσθεν, ἄμφω δὲ μετερχόμενοι τοῦτο ἐπήνησαν.*

**French troops head to Ivory Coast - Palestinian leaders to visit Arafat**
(07-11-04)

*Γαλλικοὶ στρατιῶται πρὸς τὴν Ἐλεφαντίνην Παράλιαν ὁρμῶνται*

*Ἡ Γαλλικὴ ἀρχὴ τριακοσίους στρατιώτας ἐκ τοῦ πλησίον κειμένου Γαβόνος πρὸς τὴν Ἐλεφαντίνην Παράλιαν ἔπεμψεν, τῷ γὰρ Σαββάτῳ ἐννέα τε Γαλλικοὶ στρατιῶται καὶ εἷς Ἀμερικανὸς πολίτης, ἀεροσκάφους βόμβην ἐπὶ Γαλλικὸν στρατόπεδον βαλόντος, ἀπέθανον· ἡ μὲν τῆς Ε.Π. ἀρχὴ διεβεβαιοῦτο ὅτι αὕτη ἡ προσβολὴ ἁμάρτημα εἴη, οὐ γὰρ τοῖς Γάλλοις ἐπιθέσθαι βουληθεῖεν, ὅμως δὲ οἱ Γάλλοι ἀντεπέθεντο καὶ πέντε τε ἑλικόπτερα καὶ δύο ἀεροσκάφη ἀπώλεσαν.*

*ἄλλων δὲ τριακοσίων στρατιωτῶν ἀπὸ τῆς Γαλλίας χθὲς πεμφθήντων, ὁ τῆς Ε.Π. πρόεδρος ἀπειλεῖ τούτον τὸν πόλεμον κακίω τοῦ Βιετνὰμ τοῖς Γάλλοις ἔσεσθαι, ἐὰν οὗτοι ἐπιθῶνται.*

*Παλαιστινοὶ ἄρχοντες μέλλουσι τῷ Ἀραφὰτ προσιέναι*

*Οὐδεὶς μὲν ἀκριβῶς οἶδε πῶς ὁ Ἀραφὰτ ἕξει, χθὲς δὲ Παλαιστινοὶ ἄρχοντες πρὸς τὴν παρίδα προσελθεῖν ἐν νῷ εἶχον ἵνα αὐτοὶ αὐτὸν ἰδοῖεν· ὅμως δὲ ὁ τῶν Γαλλικῶν φερέφωνος εἶπεν ὅτι οὐδὲν μὲν μεταβεβλήκοι, διὰ δὲ τοῦτο οὐδὲν λέξοι εἰ μὴ δέοι.*

*ἐὰν ὁ Ἀραφὰτ ἀποθάνῃ, ἡ τοῦ Ἰσραὴλ ἀρχὴ ἐάσει αὐτὸν ἐν τῇ Γάθῃ ταφῆναι, οὐ μέντοι ἐν τῷ Ἱερουσαλήμ, οἱ δὲ Παλαιστίνιοι βούλονται τὸν ἑαυτῶν ἡγεμόνα ἐν τῷ Ἱερουσαλὴμ θάπτειν· εἰκότως δὲ ἔρις ὑπὲρ τούτου ἔσται.*

**Radcliffe wins in New York - Singer rules out ABBA reunion**
(10-11-04)

*Ἡ Παῦλα Ῥάδκλιφ ἐν τῷ τῆς Νέας Ὑόρκης Μαραθῶνι νικᾷ*

*Ἡ Παῦλα Ῥάδκλιφ πάλιν μειδιᾷ, ἐν γὰρ τῷ τῶν Ἀθηνῶν Μαραθῶνι τὸν ἀγῶνα ἀπολιποῦσα, καίπερ μάλιστα μελετήσασα καὶ σφόδρα, ἡ Βρετανικὴ ἀθλήτρια τῇ Κυριακῇ ἐν τῇ Νέᾳ Ὑιόρκῃ ἐνίκησεν.*

*οὐδεὶς μὲν ᾔδει πότερον ἐν ταῖς Ἀθήναις κακῶς πράξασα ἡ Παῦλα αὖθις ὡς βέλτιστα ἀγωνίζειν οἵά τ' ἔσοιτο ἢ οὔ, ἡ δὲ καλλίστη νίκη ἀπεκρίνατο.*

*ἐν δὲ τῷ τῶν ἀνδρῶν ἀγῶνι ὁ Ἑρρῖκος Ῥαμάαλα, ὃς ἐν τῇ Μεσημβρινῇ Ἀφρικῇ οἰκεῖ, ἐνίκησεν· κατὰ δὲ τύχην οὗτος ὁ δρομεὺς καὶ ἐν ταῖς Ἀθήναις τὸν ἀγῶνα ἀπέλιπεν· ἴσως δὲ νέος κανὼν παρακεῖται, ἐν ταῖς Ἀθήναις ἀπολιπεῖν ἵνα ἐν τῇ Νέᾳ Ὑιόρκῃ νικᾷ;*

*Ὠιδὸς νέαν τῆς συστάσεως ABBA σύνοδον ἀφίστησιν*

*Ὁ Βιὼρν Οὐλβαεὺς, ἤδη πεντήκοντα καὶ ἐννέα ἔτη γεγονώς, λέγει ὅτι ἡ Σουηδικὴ σύστασις* ABBA *οὐ πάλιν ᾄσεται διότι οἵ τε θεαταὶ καὶ οἱ ἀκουσταὶ τῆς ἐλπίδος ψεύδοιντο ἄν, ἡ γὰρ ἐνέργεια καὶ ὁ ἐνθουσιασμὸς τὸ πρόσθεν αὐτοὺς ἄγοντες οὐκέτι πάρεισιν.*

*μάλιστα δὴ τῇ δημοτικῇ μουσικῇ εὐτυχήσασα, ἡ σύστασις* ABBA *ἐχωρίσθη ἤδη εἰκοστὸν ἔτος· καὶ δὴ καὶ οἱ δύο σύζυγοι οἳ τὴν σύστασιν κατέστησαν καὶ πάλαι ἐσχίσθησαν.*

## Falluja assault almost over - Greek archaeologists find Heracles' house
(14-11-04)

*<u>Ἡ ἐπὶ τὴν Φαλλύχαν ἐπίθεσις σχεδὸν τετελεύτηκεν</u>*

*Ἡ μεταχὺ Ἰρακία ἀρχὴ νομίζει τὴν ἐπὶ τὴν στασιωτικὴν πόλιν Φαλλύχαν ἐπίθεσιν ἤδη τετελευτηκέναι, καίπερ τῶν τε Ἰρακίων καὶ τῶν Ἀμερικανῶν στρατιωτῶν ἔτι καὶ νῦν ἔνθα καὶ ἔνθα μαχομένων· αὕτη δὴ ἡ πόλις τὸ νευραλγικὸν κέντρον τῆς Σουνίας ἀντιστάσεως ἐκ τῆς τοῦ πολέμου ἀρχῆς ἐγένετο, νῦν δὲ οἵ τε Ἀμερικανοὶ καὶ οἱ Σουνίοι ἑβδομάδα ἐνθάδε μεμάχηνται.*

*ὁ μὲν τῶν στασιωτικῶν φερέφωνος λέγει ὅτι οἱ μὲν Ἀμερικανοὶ μόνον μέρος τῆς πόλεως κατέχουσιν, αὐτοὶ δὲ ἑαυτοὺς οὐ παραδεδώκασιν, ὁ δὲ τῶν Ἀμερικανῶν φερέφωνος διαβεβαιοῦται ὅτι τριῶν ἡμερῶν τὴν πόλιν καθέξουσιν.*

*<u>Ἑλληνικοὶ ἀρχαιολόγοι τὴν τοῦ Ἡρακλέους οἰκίαν ηὑρήκασιν</u>*

*Ἑλληνικοὶ ἀρχαιολόγοι νομίζουσι τὴν οἰκίαν τὴν τοῦ Ἡρακλέους ηὑρηκέναι, ἐν γὰρ τῷ τῆς πόλεως κέντρῳ τὴν οἰκοδομήματός τινος βάσιν ηὑρήκασιν, ὃ χρηστήριον γεγονέναι νομίζουσιν ἐν ᾧ οἱ τότε τῷ ἥρῳ ἐχρῶντο· παρὰ δὲ τούτῳ ἄλλο τι χρηστήριον κεῖται, τοῦ Ἀπόλλωνος ἱερόν.*

*ἐν δὲ τῷ τοῦ Ἡρακλέους χρστηρίῳ οἱ ἱερεῖς, ξύλον κατακαύσαντες, τέφρᾳ ἐχρῶντο ἵνα τὸ μέλλον προαγορεύοιντο ἢ περί τινος παραινοῖεν.*

## X-ray to find out why Tutankhamon died - Meteor shower to light up night sky
(17-11-04)

*<u>Χ-ἀκτῖνες δείξουσι διὰ τί ὁ Τοῦτ-αν-Χαμὼν ἀπέθανεν</u>*

*Οἱ ἀρχαιολόγοι, τὸν νεκρὸν ἐκ τοῦ τάφου οὗ κεῖται ἐξελόντες, ἐξετάσουσι πότερον ὁ Τοῦτ-αν-Χαμὼν κατὰ φύσιν ἀπέθανεν ἢ αὐτὸν ἄλλοι ἀπέκτειναν· ὁ δὲ ἡγεμὼν τῶν Αἰγυπτίων ἀρχαιῶν λέγει ὅτι οὕτως τήν τε ἡλικίαν αὐτοῦ καὶ τὰς νόσους εἴδονται· τὴν ἐξέτασιν μέλλουσι τοῦ Νοεμβρίου μηνὸς τελευτῶντος ποιήσειν.*

*οἱ μὲν τοῦ Τοῦτ-αν-Χαμόνος θησαυροὶ ἐν τῷ τοῦ Κάϊρου Μουσαίῳ κεῖνται, ὁ δὲ νεκρὸς ἐν τῷ τάφῳ μένει, ὁ γὰρ Ὅβαρδ Κάρτηρ, ὃς τὸν τάφον ηὗρεν, τοῦτο οὕτως εἶναι ᾔτησεν· μετὰ δὲ τὴν ἐξέτασιν ὁ νεκρὸς πάλιν εἰς τὸν τάφον εἰστεθήσεται. εἰ δὲ ὁ Τοῦτ-αν-Χαμὼν ἐφονεύθη, κατὰ τὸ εἰκὸς ὅ τε ὑπέρτατος ἱερεὺς καὶ ὁ ἐπιστράτηγος αἴτιοι τῆς φονῆς ἐγένοντο.*

Μετεωρολίθων ὑετὸς μέλλει τὸν νυκτερινὸν οὐρανὸν φωτίσειν

Ὁ μετεωρόλιθος Λεωνίδας ὀνόματι κόμην ἐλαύνει λειμμάτων, μικρῶν τε λίθων καὶ κονίας, αὔριον δὲ ἡ γῆ διὰ ταύτην τὴν κόμην διελεύσεται· τὰ δὲ λείμματα, ἐπὶ τὴν ἀτμοσφαῖραν παρασσόμενα, φωτίσεται· ἔξεσται δὲ πεντεκαίδεκα ἢ εἴκοσι ὁρᾶν καθ' ὥραν· δεήσει δὲ τοὺς τοῦτο βλέπειν βουλομένους ἔξω μὲν τῆς πόλεως ἐξελθεῖν, ἰέναι δὲ πρὸς τόπον ἀφώτιστον.

οἱ δὲ μικροὶ λίθοι, οἳ τῷ μετεωρολίθῳ ἀκολουθοῦσιν, εἰς μέγαν κίνδυνον τοὺς δορυφόρους ἵστασιν, καίπερ μικρότατοι ὄντες, πορεύονται γὰρ τάχιστα, ἡ δὲ πάταξις δύναται αὐτοὺς θραύειν· καὶ δὴ καὶ αὕτη ἡ μικροτάτων λίθων κόμη δύναται ἠλεκτρικὸν κύκλον περὶ τοῦ δορυφόρου ποιεῖν, ὃς τὰ ὄργανα αὐτοῦ διαφθείροι ἄν.

## China plane crash kills 55 - Iraqi elections set for January 30
(21-11-04)

Πεντήκοντα καὶ πέντε ἀποθνῄσκουσιν ἐν ἀεροσκάφους δυστυχίᾳ

Ἀεροσκάφους ἐπὶ πηχθέντα λιμένα ἐν τῇ Σίνῃ πεσόντος, πεντήκοντα καὶ πέντε ἐπιβάται καὶ δύο ἄνθρωποι, οἳ ἐν τῷ αὐτῷ τόπῳ παρῆσαν, ἀπέθανον· οὐδεὶς δὲ οἶδε ἔτι καὶ νῦν διὰ τί τὸ δυστύχημα συνέβη, λέγεται δὲ ὅτι τὸ ἀεροσκάφος ἤδη ἐν τῷ ἀέρι ὂν ἐπάταξεν, μόνον δέκα δευτερόλεπτα ἀφ' οὗ τὴν γῆν κατέλιπεν.

Οἱ Ἰράκιοι ἀρχαιρεσίας τῇ τριακοστῇ τοῦ Ἰανουαρίου δράσουσιν

Αὖθις ἐλεύθεραι ἀρχαιρεσίαι ἐν τῷ Ἰρὰκ δρασθήσονται ἀφ' οὗ τὸν Σαδδὰμ Ούσσεὶν ἐκ τῆς ἀρχῆς οἱ Ἀμερικάνοι στρατιῶται ἐξέβαλον· ἔπειτα δὲ πολιτεία μὲν νέα γραφήσεταί τε καὶ περὶ αὐτῆς ψηφιοῦνται οἱ πολῖται, ἐὰν δὲ κυρῶται ἡ πολιτεία ἀρχαιρεσίας αὖθις δράσουσι τελευτῶντος τοῦ ἐπιγιγνομένου ἔτους.

Οἱ μὲν Σιῖται οὕτως ὑπὸ τοῦ Σαδδὰμ Ούσσεὶν κατεσχέθησαν ὥστε μάλιστα τῶν ἀρχαιρεσιῶν ἐπιθυμοῦσιν, οἱ δὲ Σουνίες, τὸ τοῦ Σαδδὰμ γένος, ἥκιστα τοῦτο βούλονται, καὶ δὴ καὶ ἀπειλοῦσι οὗτοι βίᾳ χρήσεσθαι ἐπὶ τὰς ἀρχαιρεσίας.

## Tolkien "Rings" house "historic" - Problematic elections in Ukraine
(24-11-04)

Ἡ τῶν δακτυλίων οἰκία τοῦ Τόλκιεν ἱστορικὴ νομισθήσεται

Τὴν οἰκίαν ἐν ᾗ "Ὁ τε τῶν δακτυλίων Κύριος"καὶ Τὸ "Ὄββιτ ἐγράφησαν εἰς κατάλογόν τινα εἰσθήσουσι τῶν οἰκιῶν αἳ ἱστορικῶς μεγάλην ῥοπὴν ἔχουσιν.

Ὁ μὲν τῶν δακτυλίων Κύριος δημοτικώτατον μυθολόγημα γέγονεν, τὸ δὲ περὶ τῆς τριλογίας κινηματογραφικὸν ἔργον ἕνδεκα ἀκαδημικὰ ἆθλα κέκτηται· ὁ δὲ συγγραφεὺς διδάσκαλος ἦν ἐν τῷ τῆς Ὀξφόρδης Πανεπιστημίῳ.

Προβληματικαὶ ἀρχαιρεσίαι ἐν τῇ Οὐκρανίᾳ

Ὁ μὲν τῶν ἀνθισταμένων ἡγεμών, Βίκτωρ Ἰουσιένκω, ἐν ταῖς ἀρχαιρεσίαις κατὰ τοὺς αὐτὰς διαθέντας ἡττηθείς, ἀνηγόρευσεν ἑαυτὸν πρόεδρον τῆς χώρας, ὁ δὲ προρρωσικὸς Βίκτωρ Ἰακουννόβιζ διαβεβαιοῦται ὅτι αὐτὸς ἐνίκησεν· οἱ μὲν διεθνεῖς θεωροὶ λέγουσιν ὅτι αἱ ἀρχαιρεσίαι παρὰ τοὺς νόμους ἐγένοντο, καὶ δὴ καὶ πᾶσαι αἱ ἐξετάσεις δηλῶς ἐδείκνυσαν ἀεὶ τὸν Ἰουσιένκω νικήσοντα· ἴσως μὲν τοῦτο πρὸς οἰκεῖον πόλεμον τοὺς πολῖτας ἐλᾷ, ὅμως δὲ αἱ ἄλλαι χῶραι ἐπιμελοῦσιν ὅπως μὴ πόλεμος μηδεὶς γενήσεται.

ὁ Βλαδιμὶρ Πούτιν μάλιστα διαβεβαιοῦται ὅτι ὁ προρρωσικὸς εἰς ἀρχὴν παραγγέλλων σαφῶς τε καὶ φανερῶς ἐνίκησεν, οὐδεὶς δὲ οἶδα διὰ τί τοῦτο ὁ Ποῦτιν λέγει.

**Man dies in leap from Empire State Building - Robber gets drunk and gets caught**
(27-11-04)

<u>Ἀνήρ τις ἀποθνῄσκει ἀπὸ τοῦ Ἀρχῆς Ἕξεως Οἰκοδομήματος ἐκπηδήσας</u>
Ἀνήρ τις ἐκ τῆς ὀγδοηκοστῆς καὶ δευτέρης στέγης τοῦ Ἀρχῆς Ἕξεως Οἰκοδομήματος, συμβόλου τοῦ Μανχάταν δήμου, ἐξεπήδησεν, ὡς ἀκριβῶς εἰπεῖν ἐκ τοῦ τόπου τῆς ὄψεως καλουμένου· πρῶτον μὲν ὁ ἀνὴρ ἕρκον ὃ τὴν ὑψηλοτάτην στέγην τοῦ οἰκοδομήματος περιέχει ὑπερέβη πρὶν ἐκπεδᾶν, κατέπεσε δὲ οὐκ ἐπὶ τὴν ἄγυιαν ἀλλὰ ἐπὶ προέχον βάθρον τι τῆς ἕκτης στέγης, αὐτίκα δὲ ἀπέθανεν· ὁ δὲ ἀνὴρ οὐκ εἶχε μεθ' αὐτοῦ γράμματα, διὰ δὲ τοῦτο τίς ἦν οὐκ ἴσασιν. ἀφ' οὗ τοῦτο τὸ οἰκοδόμημα τῷ χιλιοστῷ ἐνακοσιοστῷ τριακοστῷ πρώτῳ ἔτει ἐτελέσθη, τριάκοντα καὶ εἷς ἄνθρωποι ἑαυτοὺς ἀπεκτόνασιν τοῦτον τὸν τρόπον· τέσσαρα δὲ ἑκατομμύρια τουρισταὶ τὸ οἰκοδόμημα τοῦτο καθ' ἐνιαυτὸν ἐφοδεύουσιν.

<u>Λῃστὴς μεθύει τε καὶ ἁλίσκεται</u>
Ἀνὴρ τριάκοντα καὶ δύο ἔτη γεγονὼς ἐν πανδοκείῳ τινὶ τὰ χρήματα βιαίως ἀφεῖλεν, τὸν ὑποδεχόμενον ἐργαστὴν ἀπειλήσας ὅπλῳ τινί· τοῦτο δὴ ἐν τῇ πόλει Τούρκου (τῆς Φινλανδίας) συνέβη. οὐ μόνον τὰ χρήματα ἀλλὰ καὶ πολλὰς ληκύθους οἴνου ἔλαβη ἐκ τοῦ πανδοκείου· ἔπειτα δὲ τὸν ὑποδεχόμενον ἠνάγκασε μετελθεῖν μὲν εἰς αὐτοματικὴν τράπεζαν ἵνα πλείω χρήματα ἐκλάβοι, εἰσβῆναι δὲ εἰς τάξι· τέλος δέ, πολὺν οἶνον πιών, ἐλειποψύχησεν, ὁ δὲ ὑποδεχόμενός τε καὶ ὁ διφρευτὴς τοὺς φύλακας ἐκάλεσαν· ἆρα πῶς ἔξεστι οὕτω μῶρος εἶναι;

**Michael Jordan's brother deployed to Iraq - Getting the Bible back to its roots**
(30-11-04)

<u>Ὁ τοῦ Μιχαὴλ Ἰόρδαν ἀδελφὸς πρὸς τὸ Ἰρὰκ ἀποπέμπεται</u>
Τὸν μὲν λοχαγὸν Ἰάκωβον Ἰόρδαν ἔδει τῆς στρατείας ἀναγκαίως ἐρωεῖν, ὅμως δὲ ᾔτησεν ἔτι ἐνιαυτὸν μένειν ἵνα μετὰ τῶν ἑαυτοῦ στρατιωτῶν πρὸς τὸ Ἰρὰκ πεμφθῇ· ὁ γὰρ Ἰόρδαν τόδε εἶπεν· "Νῦν γε πολεμοῦμεν, δεῖ τοίνυν τοὺς ἡγεμόνας κρίσεις τινὰς κρίνειν, τοιοῦτος δὲ ἐγώ εἰμι, ἡγεμών τις". ὁ μὲν Ἰάκωβος Ἰόρδαν, τεσσαράκοντα καὶ ἑπτὰ ἔτη γεγονώς, ἤδη τριακοστὸν ἔτος στρατεύει, οὐ μέντοι τῇ τοῦ ἀδελφοῦ δόξῃ πρὸς τὸ ἑαυτοῦ ὄφελος χρῆται· εἰ γὰρ τοῦτο οὕτως εἴη, πρὸς τὸ Ἰρὰκ ἰὼν οὐκ εἰς κίνδυνον ἑκὼν καθισταίη ἄν· ἄλλοι μὲν βιωτεύοιντο ἂν ὡς πλούσιοι καὶ οἴκοι μένοιεν ἄν, οὗτος δὲ τὸ δέον πράττει.

*Τὰ Ἅγια Βιβλία πάλιν ἐκ τῶν ῥιζῶν λαμβάνουσιν*

*Ὁ Ῥόβερτ Ἄλτηρ τὰς πέντε τῶν Ἁγίων Βιβλίων πρώτας βίβλους, τὴν Πεντάτευχον καλουμένας, μεταπέφρασκεν, πειρᾷ δὲ τὸν τῆς ἑβραΐδος νοῦν διασῴζειν· ὁ δὴ Ἄλτηρ διδάσκαλος τυγχάνει ὢν ἐν τῷ τοῦ Βερκελει Πανεπιστημίῳ, διαβεβαιοῦται δὲ ὅτι αἱ μὲν πρόσθιαι μεταφράσεις οὐκ ἀκριβεῖς εἰσιν, ἄλλως τε καὶ ἅτε τοὺς πολλοὺς λόγους "καὶ" φεύγουσαι, αὐτὸς δὲ τοῦτον τὸν λόγον αὖθις εἰστέθηκε διότι, κατὰ τὴν αὐτοῦ δόξαν, τὰ ἀρχέτυπα Ἅγια Βιβλία σεμνῶς ἀκούεται τῶν παλλιλογιῶν ἕνεκα· παραδείγματί δὲ τινι χρώμεθα· ἐν τῷ τόπῳ οὗ ὁ τοῦ Ἀβραὰμ διάκονος ἀποπέμπεται μὲν ἵνα γαμετὴν τῷ Ἰσαὰκ εὕρῃ, τὴν δὲ Ῥεβέκκαν καταλαμβάνει, πεντεκαίδεκα "καὶ" παρακεῖνται, ὁ δὲ Ἄλτηρ ταῦτα πάντα διασῴζει.*

**Pyramid tomb may be sacrifice site - Madrid blasts after ETA warning**
(04-12-04)

*Ἐν πυραμίδι ἀνθρωπείας θυσίας ἴσως ἐποίησαν*

*Ἡ τῆς Σελήνης Πυραμίς, ἤδη δισχιλιοστὸν ἔτος οἰκοδομηθεῖσα, ἐν τῷ Τεοτιουακὰν (ἐν τῷ Μεξικῷ) κεῖται, κατὰ δὲ τοὺς ἀρχαιολόγους ἀνθρώπειαι θυσίαι ἐντὸς αὐτῆς ἐποιήθησαν, πολλοὺς γὰρ νεκροὺς κεφαλοτομηθέντας ἐνηυρήκασιν· αὗται μὲν αἱ θυσίαι τότε ἐγένοντο, ἐπεὶ πρῶτον ταύτην τὴν πυραμίδα ᾠκοδόμησαν, ἔπειτα δὲ ἡ πόλις ἐμπρησθεῖσα (ὑπὸ τίνων οὐδεὶς οἶδεν) κατελείφθη ὑπὸ τῶν οἰκετῶν· μετὰ δὲ ταῦτα, πεντακοσίων ἐτῶν προσελθόντων, οἱ Ἀζτῆκαι ἐκεῖσε ἀφικόμενοι τοῦτον τὸν τόπον ἐκάλεσαν " τὸν τόπον ἐν ᾧ οἱ ἄνθρωποι θεοὶ γίγνονται", νομίζοντες αὐτὸν θεῖον εἶναι.*

*Ἀνατιναγμοὶ ἐν τῷ Μαδρίδι μετὰ προάγγελσιν ὑπὸ τῆς ΕΤΑ*

*Πέντε ὑγροῦ καυσίμου πωλητήρια ἀνατιναγμοὺς ἔπαθον χθὲς ἐν τῷ Μαδρίδι, ἓξ δὲ ἄνθρωποι ἐτρώθησαν· χθὲς μὴν πολλοὶ πολῖται ἐκ τῆς πόλεως ἐξῆσαν, ἅτε τῆς τε Δευτέρης ἡμέρας καὶ της Τρίτης ἐν τῇ Ἰσπανίᾳ οὐκ ἐργαστέων οὐσῶν, διὰ δὲ τοῦτο πολλὰ αὐτοκίνητα τὰς ὁδοὺς ἐπλήρουν, πολὺ μᾶλλον ἢ νομίμῃ Παρασκευῇ· τρομοκράτης μέν τις τῆς ΕΤΑ, πρότερον τηλεφωνήσας, περὶ τῶν βομβῶν παρήγγειλεν, οἱ δὲ φύλακες τούς τε ὠνητὰς καὶ τοὺς ἐργάτας ἠνάγκασαν τὰ πωλητήρια ἐκλιπεῖν· ὅμως δὲ ἐν ἑνὶ τῶν πωλητηρίων ἡ βόμβα ἀνετίναξε πρὶν πάντες ἐξελθεῖν· τῶν μὲν ἀνατιναγμῶν γενομένων, τρεῖς κυριώταται ὁδοὶ αἳ ἐκ τῆς πόλεως ἐξάγουσιν ἄχρητοι ἐγένοντο, τοῦτο δὲ μακροτάτων βυσμάτων αἴτιόν ἦν τοῖς τὴν πόλιν διὰ τῶν ἄλλων ὁδῶν λειποῦσιν.*

**Oxford beats Cambridge in Varsity Game**
(07-12-04)

*Ἡ Ὀξφορδὴ τὴν Κέμβριτζ ἐν τῷ Βάρσιτι Ἀγῶνι νικᾷ*

*Οἱ τῆς Ὀξφορδῆς ἀγωνισταὶ ἐν τῷ ἐπὶ τοὺς τῆς Κέμβριτζ ῥουγβιστικῷ ἀγῶνι τὴν νίκην ἠνέγκοντο, τοῦ ἀποβαίνοντος ὀκτωκαίδεκα - ἕνδεκα ὄντος.*

*πρῶτον μέν, ἔτι ἐν τῷ πρώτῳ λεπτῷ, οἱ αγωνισταὶ πὺξ ἐμάχοντο, ἔπειτα δὲ κατὰ τῶν νόμων*

*ἠγωνίσαντο, οὐ μέντοι βιαίως· πάντες δὲ ὡς βέλτιστα ἠγωνίσαντο, ἐνίοτε μὲν οἱ τῆς Ὀξφορδῆς ἐκράτουν, ἐνίοτε δὲ οἱ τῆς Κέμβριτζ, τέλος δὲ οἱ Ὀξονισταὶ τὴν νίκην ἐκτήσαντο.*

*ἀγωνιστής τις τῆς Κέμβριτζ, τὸν ἕκτον κατὰ τὸν ἀριθμόν, χαλεπῶς ἐτρώθη, εἰς δὲ τὸ νοσοκομεῖον ἠνέχθη· ὅμως δέ, ὥρας προσελθούσης, εἶπον οἱ ἰατροὶ ὅτι ἡ τραυματία οὐ τοιαύτη χαλεπὴ εἴη.*

*τοῦτον δὲ τὸν ἀγῶνα καθ' ἐνιαυτὸν πολλοὶ θεαταὶ ἐν τῷ Τουίκενχαμ σταδίῳ, " τῇ τοῦ ῥοῦγβι οἰκίᾳ" καλουμένῳ, θεῶνται.*

**Powell reprimands allies - "The sound of stone", new biography on Gaudí**
(10-12-04)

*<u>Ὁ Πώουελ τοῖς συμμάχοις ψόγον ἐπιφέρει</u>*

*Ὁ Κόλιν Πώουελ χθὲς τοῖς συμμάχοις τραχέως ψόγον ἐπένεγκεν, οὗτοι γὰρ οὐχ ὅπως ἐθέλουσι πλείονας στρατιώτας εἰς τὸ Ἰρὰκ εἰσπέμψαι ἀλλ' οὐδὲ βούλονται τῷ νέῳ Ἰρακίῳ στρατεύματι βοηθεῖν ἵνα ὡς τάχιστα ἑτοῖμον ᾖ· κατὰ δὲ τὸν Πώουελ, οὗτοι οἱ σύμμαχοι τὸ μὲν πρόσθεν ὑπέσχοντο συμμελετήσειν τὸ νέον Ἰράκιον στράτευμα, νῦν δὲ τοῦτο ἀπαρνοῦνται· αὗται δὲ αἱ χῶραι (ἥ τε Γερμανία καὶ ἡ Ἱσπανία καὶ ἡ Γαλλία καὶ τὸ Βέλγιο καὶ ἡ Ἑλλάς) οὐ βούλονται τοὺς ἑαυτῶν στρατιώτας ἐν τούτῳ τῷ ἐπιτάγματι συμπράττειν· πλήν γε ὅτι ἡ Πολωνία καὶ ἡ Νορβηγία καὶ ἡ Οὐγγαρία καὶ ἡ Ὁλλανδία πρὸς τοῦτο τὸ ἐπίταγμα ἔτι πλείονας στρατιώτας δεδώκασιν.*

*<u>"Ὁ τῶν λίθων φθόγγος", νέα βίβλος περὶ τοῦ Γαυδί</u>*

*"Ὁ Γαυδὶ μετέβαλεν ἐκ τῆς ἀθεΐας, ἔτι νεανίας ὤν, πρὸς τὸ μυστικόν, ἤδη γέρων γενόμενος", ἔφη χθὲς ὁ Λουδοβῖκος Ῥαθιονέρω, ὁ συγγραφεὺς ταύτης τῆς βίβλου· ἡ δὲ ἐπιγραφή ἐστι "Ὁ τῶν λίθων φθόγγος", ἅτε τοῦ Γαυδὶ ἀρχιτέκτονος ὄντος· ἡ δὲ βίβλος οὐδαμῶς μόνον κατάλογός ἐστι τῶν ἐνδοξοτάτων οἰκοδομημάτων αὐτοῦ, παραδείγματος ἕνεκα τῆς Ἱερᾶς Γέννης, ἀλλὰ διήγησίς τις τοῦ ἰδίου βίου τοῦ Γαυδὶ καὶ τῶν ἐννοίων, μάλιστα δὲ δεικνύναι πειρᾶται ὅπως αὗται αἱ ἔννοιαι μετέβαλλον τῶν ἐτῶν διερχομένων· ὁ μὲν Γαυδὶ ἀπέθανε πρὶν τὸ ἑαυτοῦ μέγιστον ἔργον (τὴν Ἱερὰν Γένναν, ἐν τῇ Βαρκελόνῃ) ἀποτελέσαι, τοῦτο δὲ τὸ ἱερὸν ἔτι καὶ νῦν οἰκοδομοῦσιν· πολλοῦ γὰρ ἀργυρίου δέον, πολλῶν ἐτῶν ἀποτελέσουσιν.*

**Yushenko was poisoned - Year later, Saddam trial far off**
(13-12-04)

*<u>Τὸν Ἰουσιένκω ἐφαρμάκευσαν</u>*

*Ὁ Βίκτωρ Ἰουσιένκω, ὃς πρόεδρος τῆς Οὐκρανίας γενέσθαι διὰ ἀρχαιρεσιῶν κατὰ τῶν νόμων πειρᾶται, διοξύναις ἐφαρμακεύθη· ὁ γὰρ Ἰουσιένκω, πεντήκοντα ἔτη γεγονώς, ἐν νοσοκομείῳ ἔκειτο, ἐν τῇ Βιέννῃ πόλει, οὗ οἱ Αὐστριακοὶ ἰατροὶ τὴν τῆς νόσου αἰτίαν ηὑρήκασιν, ἣ τὸ πρόσωπον αὐτοῦ διέστρεψεν· νῦν μὲν ἤδη τὸ νοσοκομεῖον καταλέλοιπεν ἵνα πρὸς τὴν Οὐκρανίαν ἐπανέλθῃ, πρὶν δὲ ἐξελθεῖν εἶπεν ὅτι ἡ δικτατωρικὴ ἀρχή, ἣ τὴν Οὐκρανίαν τεσσαρακαίδεκα ἔτη ἦρχεν, ταξέως τελευτήσοι.*

*τῆς ἀκοίτιος αὐτοῦ ταῦτα τὰ ἔπη ἐκ τῆς Ῥουσσικῆς γλώττης εἰς τὴν Ἀγγλικὴν μεταφραζούσης, ὁ Ἰουσιένκω εἶπε καὶ ὅτι δεήσοι, μετὰ τὰς ἀρχαιρεσίας (οὐ μέντοι πρόσθεν), ἐξετάζειν τίς αἴτιός ἐστιν, τίς τὸ φάρμακον τῷ σίτῳ ἔμειξεν.*

*Ἐνιαυτοῦ προελθόντος, τὸν Σαδδὰμ οὐκέτι δεδικάκασιν*

*Πρῶτον ἤδη ἔτος ὁ Σαδδὰμ ἑάλω· ἐλέχθη μὲν τότε ὅτι τῶν ἐπιγιγνομένων μηνῶν δικασθήσοιτο· δοκεῖ δὲ νῦν ὅτι πολλοῦ δεῖ ἵνα αὐτὸν εἰς δίκην καλῶνται· λέγουσιν δέ τινες ὅτι αὐτὸν οὐ δικάσουσι πρὸ τοῦ δισχιλιοστοῦ καὶ ἕκτου ἔτους, πάντα γὰρ μάλα ἀκριβῶς παρασκευάζουσιν, ἄλλως τε καὶ τὰ τεκμήρια· τούτων δὲ οὕτως ἐχόντων, σύνδικός τις Ἀμερικανὸς λέγει ὅτι ἔνιοι μὲν τῶν τοῦ Σαδδὰμ συνεργῶν ἐν τῷ δεσμωτηρίῳ κειμένων ἐσθίειν οὐ βούλονται ἵνα πρὸς τὴν φυλακὴν ἐνίστωνται, ὁ δὲ Σαδδὰμ νῦν βίβλον περὶ τοῦ πολέμου γράφει.*

**Sharon congratulates Abbas on win - Statue reveals ancient astronomy**
(12-01-05)

*Ὁ Σιαρὼν τὸν Ἄββας τῆς νίκης μακαρίζει*

*Ὁ τοῦ Ἰσραὴλ Πρωθυπουργὸς Ἀριὴλ Σιαρὼν τὸν Ἄββας χθὲς ἀνεκάλεσεν ἵνα μακαρίσειε κατὰ τὴν νίκην, ὁ γὰρ Ἄββας, ἐν ταῖς ἀρχαιρεσίαις τῇ Κυριακῇ νικήσας, νέος πρόεδρος τῆς Παλαιστίνης ἐγένετο.*

*ἴσως δὲ δείκνυσι τοῦτο τούς τε Ἰσραηλίτας καὶ τοὺς Παλαιστίνους αὖθις βουλομένους τὴν εἰρήνην ποιεῖσθαι· ὁ δὴ Ἄββας νομίζεται μετριώτερος εἶναι τοῦ Ἀραφάτ, πρὸς ὃν τὸ Ἰσραὴλ πράττειν οὐκ ἤθελεν, ὡς τὴν τρομοκρατίαν ὠφελοῦντα.*

*Ἄγαλμά τι τὴν ἀρχαῖαν ἀστρονομίαν ἀποδείκνυσιν*

*Ῥωμαϊκὸν ἄγαλμα τοῦ Ἄτλαντος, τοῦ Τιτᾶνος ὃς τὸν κόσμον ἐπὶ τοῖς ὤμοις βαρέως ἀνεῖχεν, σημεῖά τινα περὶ τοῦ Ἱππάρχου καὶ τῶν ἀστρονομικῶν ἐξετάσεων αὐτοῦ ἀκριβῶς δεικνύναι ἔχει· τοῦτο δὲ τὸ ἄγαλμα ἐν τῷ τῆς Νεαπόλεως Μουσαίῳ κεῖται.*

*ὁ Βράδλει Σιάεφηρ, διδάσκαλος ἐν τῷ τῆς Λουισιάνης Πανεπιστημίῳ, λέγει ὅτι τὰ ἄστρα, ἃ ἐπὶ τῇ σφαίρᾳ ὑπὸ τοῦ Ἄτλαντος ἀνεχομένῃ ὁ ἀνδριαντοποιὸς ἔγλυψεν, δείκνυσι ὅπως ὁ Ἵππαρχος τὸν οὐρανὸν τότε ἑώρα· ὥστε ἔξεστι νῦν εἰδέναι ὅπως ἡ τῶν ἄστρων θέσις διὰ δισχιλίων ἐτῶν μετεβάλετο.*

**Prague major, disguised as tourist, cheated by taxi drivers - Italian politicians encourage disobedience to anti-smoke law**
(16-01-05)

*Ὁ τῆς Πράγης δήμαρχος, τουριστὴς προσποιούμενος εἶναι, ὑπὸ τάξι ἁρματηλατῶν ἐξαπατᾶται*

*Ὁ τῆς Πράγης δήμαρχος, Παῦλος Βήμ, εἰδέναι βουλόμενος πότερον ὃ οἱ ξένοι τουρισταὶ περὶ τῆς πόλεως λέγουσιν ἀληθές ἐστιν ἢ οὔ, πρῶτον μὲν τουριστὴς εἶναι προσεποίησεν, δεύτερον δὲ τάξι τινὶ ἐχρήσατο, ὁ δὲ τοῦ τάξι ἁρματηλάτης μισθὸν ᾔτησεν ἑπτάκις μείζω ἢ τὸ νομιμόν· ἔπειτα δέ,*

*τοῦ δημάρχου αὖθις ταὐτὸν ποιήσαντος, ταὐτὸν ἐγένετο (πῶς γὰρ οὔ;)· περὶ μὲν τῶν ἐν τῇ* Πράγῃ *ἀπατῶν μάλα νουθετοῦσιν οἱ τῶν τουριστικῶν πορειῶν ἐπίτροποι, παραινοῦσι δὲ οὗτοι τοῖς τουρισταῖς τάξι μηδενὶ χρῆσθαι·*

*λυπηρότατον τόδε, ὅτι τοῦτο συνεχῶς γίγνεται ἐν τῇ τῆς* Βοημίας *πρωτευούσῃ, τῆς χώρας τὸ κάλλιστον ὄνομα ἐχούσης ἅμα τῇ* Αὐστρο-Οὐγγρικῇ 'Ἀρχῇ· *ἆρα τί ἡ* Μαρία-Θηρεσία *ἡ* Πρώτη, *ἀρχιδούκισσα τῆς* Αὐστρίας *καὶ βασίλεια τῆς τε* Βοημίας *καὶ τῆς* Οὐγγαρίας *ἔλεγεν ἄν, εἰ τοῦτο ἑώρα; ἴσως ἐξηπάτα ἂν καὶ αὐτή;*

*<u>Οἱ Ἰταλικοὶ πολιτικοὶ παρορμῶσι τοὺς πολίτας εἰς τὸ ἀπειθεῖν τῷ περὶ τοῦ μὴ καπνίζειν νόμῳ</u>*

*Ἔνιοι Ἰταλικοὶ πολιτικοί, καπνισταὶ δή (ῥᾷστόν ἐστι τοῦτο τεκμαίρεσθαι), οὐ μὲν πείθονται τῷ νόμῳ ὃς καπνίζειν ἐν κοινοῖς τόποις ἀπαγορεύει, τοὺς δὲ πολίτας παρορμῶσι ταὐτὸν ποιεῖν· τὸ πρᾶγμα γελοιότατόν ἐστιν, ἔνιοι γὰρ τῶν ἀριστεροτάτων πολιτικῶν πρὸς ἄλλοις τῶν δεξιωτάτων συμμαχίαν πεποιήκασι ἐπὶ τοῦτον τὸν νόμον (τόδε δὴ νέον εὕρημά ἐστιν· ὁ κάπνος τοὺς πρότερον εἰς ἀεὶ πολεμίους συνάγει).*

*τὸ δὲ βέλτιστον· ὁ* 'Αντώνιος Μαρτίνος, *ἡγεμὼν τούτου τοῦ πρὸ τοῦ καπνίζειν νεωτερισμοῦ γενόμενος, λέγει ὅτι αὐτὸς ταὐτὸν μὲν τῷ* Γάνδι *ποιεῖ, ὑπὲρ τῆς ἐλευθερίας μάχεσθαι (οὕτως εἶπεν), μαχήσεται δὲ ἐπὶ τήν τε δικτατωρείαν καὶ τὴν τυραννίδα καὶ τὴν καταδούλωσιν κ.τ.λ. (ναί, οὕτως εἶπεν).*

**Futbol Club Barcelona reaches 130,000 members - Zhao Ziyang dies after 15 years under arrest**
(19-01-05)

*<u>Ἡ Ποδοσφαιρικὴ</u>* <u>Κοινωνία Βαρκελώνη</u> *<u>ἤδη ἑκατὸν καὶ τριάκοντα χίλιους κοινωνοὺς ἔχει</u>*

Ἡ Π. Κ. Βαρκελώνη *ηὔξηκα τὸ ἑαυτῆς ἀνθρώπινον κτῆμα εἰς τοὺς ἑκατὸν καὶ τριάκοντα χίλιους κοινωνούς, τὸ γὰρ πέρυσιν τριάκοντα χίλιοι νέοι κοινωνοὶ τῷ* Π.Κ.Β. *ἐνεγράφησαν· τοῦτο δὴ δύναται ὀγδοήκοντα καθ' ἡμέραν. ὅμως δέ, τοῖς νέοις κοινωνοῖς οὐκ ἔξεστι ἔτι ἕδραν τινὰ ἐν τῷ σταδίῳ ἔχειν, ἐκεῖ γὰρ μόνον ἐνενήκοντα καὶ πέντε χίλιοι θεαταὶ χωροῦσιν· ἐν δὲ τῷ σταδίῳ κεῖται καὶ μέγιστον μουσεῖον περὶ τοῦ* Π.Κ.Β. *ᾧ οἱ τουρισταὶ μάλιστα προσέρχονται ὅταν εἰς τὴν* Βαρκελώνην *ἥκωσιν.*

*διὰ τί ἡ* Π.Κ.Β. *συνεχῶς αὐξάνει; διότι, ὡς ἀεὶ λέγεται, αὕτη ἡ* Καταλανικὴ *κοινωνία μᾶλλον ἢ κοινωνία ἐστιν.*

<u>Ὁ Ζάω Ζυιάγγ</u>*<u>, πεντεκαίδεκα ἔτη συλλελημένος, ἀποθνήσκει</u>*

Ὁ Ζάω Ζυιάγγ, *ὀγδοήκοντα καὶ πέντε ἔτη γεγονώς, ἀπέθανε προχθὲς ἐν τῇ* Κίνῃ· *οὗτος δὴ ὁ πολιτικὸς πρῶτον μὲν τῇ κομμουνιστικῇ ἀρχῇ συνέπραττεν, ἔπειτα δὲ ὑπὲρ τῆς δημοκρατίας ἐμάχετο, ἔλεγεν δὲ ἀεὶ ὅτι δέοι τὴν δικτατωρικὴν κομμουνιστικὴν ἀρχὴν μεταβάλλειν· ἐπεὶ δὲ οἱ* Κινικοὶ *μαθηταὶ ἐν τῇ* Τιανανμὴν *ἀγορᾷ διεδηλοῦντο, ὁ μὲν* Ζ. Ζ. *τὴν ἀρχὴν ἐδέησε μὴ ἐπὶ τοὺς νεανίας τὸ στράτευμα πέμψαι, τέλος δὲ ἡ ἀρχὴ τῇ βίᾳ ἔχρητο, δύο δὲ χίλιοι νεανίαι ὑπὲρ τῆς*

*ἐλευθερίας μαχόμενοι ἀπέθανον· διὰ δὲ τὸ ἐπὶ τὴν ἀρχὴν ἀγορεύεσθαι, ὁ Ζ. Ζ. συνελήφθη καὶ οὕτως διεβίου μέχρι οὗ ἀπέθανεν.*

**Bush: "Expand freedom in all the world" - UK health authorities looking for Catalan dentists**
(22-01-05)

<u>Ὁ Βοῦιξ· "*Δεῖ τὴν ἐλευθερίαν πανταχόσε διασπείρειν*"</u>
*Ὑπισχόμενός τε τὸ δεύτερον τὸν ὅρκον κατὰ τοὺς νόμους καὶ δημηγορεύσας, ὁ* Βοῦιξ *εἰς τὴν* Λευκὴν Οἰκίαν *ἐπανῆλθεν· πλειόνων δὲ ἢ ἑκατὸν χιλίων ἀνθρώπων ἐν τῷ* Καπιτωλίῳ *συνελθόντων, ὁ* Β. *τὸν μὲν καθιερωτικὸν λόγον συνήρμοσε περὶ τῆς συνόψεως τῆσδε· δεῖ τὰς δικτατωρείας ἐξορίζειν, αὗται γὰρ τῶν πολέμων αἴτιαί εἰσιν· ὑπέσχετο δὲ καὶ τοῖς ὑπὲρ τῆς ἐλευθερίας πανταχοῦ μαχομένοις βοηθήσειν.*

*περὶ δὲ τῆς ἐντὸς πολιτικῆς καταστάσεως, ἐπώτρυνε τοὺς πολίτας διαστάσεις μὲν εἰς αὐτοὺς μὴ εἰσβάλλειν, σύνοχοι δὲ εἰς τὴν κοινὴν σκοπόν, τὴν ἐλευθερίαν, εἰσβαίνειν.*

<u>*Οἱ τῆς ὑγιείας ἐν τῇ* Βρετανίᾳ *ἐπιμελοῦντες* Καταλανικοὺς *ὀδοντολόγους ζητοῦσιν*</u>
Ὁ Ἀντώνιος Βλαῖρ *ὑπίσχετο τὸ* Βρετανικὸν *ὑγιεινὸν σύστημα ἐπὶ τὸ βέλτιον τρέπειν, οἱ δὲ* Ἀγγλικοὶ *πολῖται πλειόνων ὀδοντολόγων δέονται, οὐ γὰρ ἱκανοὺς ἔχουσιν, διὰ δὲ ταῦτα ἡ* Βρετανικὴ *ἀρχὴ ἐν τῇ* Καταλονίᾳ *τινὰς μισθοῦν πειρᾶται· οἱ μὲν γὰρ πολλοὶ τῶν* Βρετανικῶν *ὀδοντολόγων ἰδίᾳ ἐργάζονται, οἱ δὲ νέοι μισθούμενοι ἐν δημοσίοις νοσοκομείοις ἐργάζοιντο ἄν.*

*οἵ τε* Καταλανικοὶ *ὀδοντόλογοι (καὶ οἱ ἰατροὶ) καλῶς πανταχοῦ ἀκούουσιν, αἱ γὰρ δύο ὀδοντικαὶ ἀκαδημεῖαι ἐν τῇ* Καταλονίᾳ *οὖσαι δυσχερεῖς μέν εἰσιν, ἄρισται δέ.*

**U2 to perform in Barcelona - Tsunami fails to deter tourists**
(25-01-05)

<u>Υ-β' *ἐν τῇ* Βαρκελώνῃ *ᾄσεται*</u>
Τῷ *ἐπιγιγνομένῳ* Αὐγούστῳ *μηνὶ ἡ μουσικαλικὴ ὁμὰς* Υ-β' *ἐν τῷ* Νέῳ Σταδίῳ *(τῇ τῆς* Ποδοσφαιρικῆς Κοινωνίας Βαρκελώνης *ἕδρᾳ) ᾄσεται· ἅμα μὲν ἄλλαις πολλαῖς ᾠδαῖς ἔξεσται καὶ τὸν νέον δισκον* "Πῶς *δεῖ ἀτομικὴν βόμβαν διαλύειν*", *ὃς μέγα εὐτύχημα γεγήνεται, ἀκούειν· οἱ δὲ τὴν ἑορτὴν συντάττοντες λέγουσιν ὅτι ἔξεσται ἓξ μόνας εἰσιτηρίας χάρτας ἑκάστῳ ἀνθρώπῳ πρίασθαι, ἵνα οἱ χρηματισταὶ μὴ αὐτὰς πάλιν τιμιώτατας πωλήσωσιν.*

*ἤδη πέμπτον ἔτος αὕτη ἡ ὁμὰς ἐν τῇ* Βαρκελώνῃ *ᾖσεν, ἐν ταῖς τοῦ* Ἁγίου Γεωργίου Βασιλείαις *καλουμέναις, πᾶσαι δὲ αἱ εἰσιτήριαι χάρται ἐν ἓξ ὥραις τότε ἐπωλήθησαν.*

<u>*Τὸ ζουννάμι τοὺς τουριστὰς οὐκ ἀποτρέπει*</u>
Τὸ *πορθοῦν ζουννάμι, ὃ πλεῖστας πόλεις καὶ μυρίους ἀνθρώπους ἀπώλεσεν, οὐ κωλύει τοὺς τουριστὰς εἰς τὴν* Ἰνδονησίαν *μὴ οὐκ ἰέναι· τὸ δὲ πρᾶγμα δύο ἀπόψεις ἔχει, οἱ γὰρ μὲν λέγουσιν*

*ὅτι ἀναιδές ἐστιν ἐκεῖσε ἀναπαύεσθαι ἐλθεῖν οὗ τοσοῦτοι ἄνθρωποι ἀπέθανον, οἱ δὲ ὅτι τοῦτο δεῖ ποιεῖν ἵνα ἡ τῆς χώρας οἰκονομία πάλιν ἐργάζηται· αὕτη δὴ ἅμιλλά ἐστι μεταξὺ τῆς ἠθικῆς καὶ τοῦ πρέποντος.*

*μηνοῦ ἤδη διελθόντος, ἔτι καὶ νῦν χαλεπόν ἐστι τοῖς ἐν τῇ Ἰνδονησίᾳ οἰκοῦσι βοηθεῖν, ταῖς γὰρ ὁδοῖς καὶ τοῖς ἀεροδρόμοις χρῆσθαι οὐκ ἔξεστιν.*

**Hundreds of drivers blocked in southern Italy - Iraqis start voting abroad**
(28-01-05)

*Μυρίοι ἁρματηλάται ἐν τῇ μεσημβρινῇ Ἰταλίᾳ ἀποροῦσιν*
*Χιονώδους χειμῶνος ἐν τῇ μεσημβρινῇ Ἰταλίᾳ γενομένου, πολλοὶ ἁρματηλάται πορεύεσθαι οὐ δύνανται, οὐδὲ ἔξεστι πολλαῖς ὁδοῖς χρῆσθαι· ἐν δὲ τῷ τοῦ Σαλέρνου δήμῳ ὁδὸς μέν τις ἄχρηστος κεῖται διακόσια χιλιόμετρα, οἱ δὲ ἁρματηλάται τὰ αὐτοκίνητα ἐκ τῆς χιόνος ἐξελαύνειν οὐ δύνανται, ἐδέησε δὲ αὐτὰ ἐν τῇ ὁδῷ ἀπολιπεῖν καὶ ἐν δημοσίοις οἰκοδομήμασι καθεύδειν.*

*καὶ δὴ καὶ πολλὰ διδασκαλεῖα κεκλεισμένα ἐστίν, ἕως οἱ στρατιῶται τὴν χιόνα ἀφαιρεῖν πειρῶνται.*

*Οἱ ἀποδημοῦντες Ἰράκιοι ἤδη ψηφίζονται*
*Οἱ Ἰράκιοι τὸ πρῶτον ἀρχαιρεσίας ποιήσονται τῇ Κυριακῇ, ἀλλὰ οἱ ἀποδημοῦντες πολῖται ἤδη τήμερον ἐψηφίσαντο· ὅταν γὰρ ἐν ᾧτινι χώρᾳ ἀρχαιρεσίαι γένωνται, οἱ ἀποδημοῦντες ἀεὶ πρῶτοι ψηφίζονται.*

*νῦν δὲ τὸ πρῶτον ἐλευθερῶς ψηφίζεσθαι δύνανται ἐξ οὗ οἱ Ἀμερικανοὶ στρατιῶται τὸν αὐτοκράτορα Σαδδὰμ Οὐσσεὶν ἐκ τῆς ἀρχῆς ἐξέβαλον· τέως δέ, οἵ τε περὶ τοῦ Σαδδὰμ καὶ οἱ ἔνθεοι ἐπιμελοῦνται μὲν ὅπως αἱ ἐλευθεραὶ ἀρχαιρεσίαι οὐ γενήσονται, ἀπειλοῦσι δὲ τοὺς πολίτας· κατὰ γὰρ τοὺς ἐνθέους, οὐ μὲν θέμις ἐστὶ τὸν θεὸν τῶν χειροτονιῶν μεταλαμβάνειν, γελοῖον δὲ εἴη ἂν τὸν θεὸν ὑπὸ θνητοῦ ἀνθρώπου ἡττᾶσθαι.*

**Marine survives 9 bombs - Google to create global library**
(31-01-05)

*Ἐπιβάτης τις ἐννέα βομβῶν περιγίγνεται*
*Ὁ Ἀντώνιος Στεύενς, εἴκοσι καὶ ἓξ ἔτη γεγονώς, ἤδη ἐννέα προσβολῶν περιγέγονεν· οὗτος γὰρ ὁ Ἀμερικανὸς ἐπιβάτης, ὅς ἐν τῇ Φλορίδῃ ἐγένετο, ἐν τῷ καλουμένῳ Θανατόεντι Τριγώνῳ στρατεύει, ἐν τῇ τοῦ Ἰρὰκ μεσημβρίᾳ· συνόλως δὴ εἷς ἐπιβάτης τῶν πέντε τετρώσκεται.*

*ὁ δὲ ἐπιβάτης λέγει ὅτι, ὡς τῆς ἠχῆς βραδέως διὰ τῆς ἀέρος ἐρχομένης, βέλτιστόν ἐστι τὸν πάταγον ἀκούειν, σημαίνει γὰρ τοῦτο ὅτι ὁ ἀκούσας ἔτι ζωός ἐστιν· ὁ μὲν Α. Σ., τῷ Αὐγουστῳ τὸ πρῶτον πάταξιν δεχόμενος, ταύτην μὲν ᾔσθετο, οὐ μέντοι ἐτρώθη, ταὐτὸν δὲ ἔτι ὀκτάκις ἐκβέβηκεν.*

*Ἡ ζητοῦσα Γοόγλη μέλλει τὴν παμπληθῆ βιβλιοθήκην καθιστάναι*

*Ἡ ζητοῦσα Γοόγλη παμπληθῆ βιβλιοθήκην πεντήκοντα ἑκατομμύρια βίβλων ἕξουσαν καθιστάναι ἐν νῷ (νῳ;) ἔχει, αὐταῖς δὲ ἀμισθὶ χρῆσθαι ἔξεσται· νῦν μὲν ἔνιαι βιβλιοθῆκαι ἤδη τῷ διαδικτύῳ πάρεισιν, ὅμως δὲ οὐ τοσαύτας βίβλους ἔχουσιν· ἡ δὲ Γοόγλη ἤδη συνθήκας τινὰς τοῖς πανεπιστημίοις Ἄρβαρδ καὶ Ὄξφορδ καὶ Στάμφορδ καὶ Μίζιγαν καὶ Νέᾳ Ὑόρκῃ πεποίηκεν.*

*πρῶτον μὲν αἱ ἐνδοξόταται βίβλοι, αἱ νόμιμαι βίβλοι, εἰστεθήσονται, ἔπειτα δέ, συνθηκῶν ἄλλων πεποιημένων, αἱ νέαι βίβλοι, ἐφ' αἷς οἱ συγγραφεῖς ἐξουσίαν ἔχουσιν, καὶ ἐν τῷ διαδικτύῳ ἐκδοθήσονται· εἰσὶ δὲ (καὶ ἐγὼ) οἳ διαβεβαιοῦνται ὅτι τοῦτο τὸ σύστημα τῶν παραδοτῶν βιβλιοθηκῶν οὐκ ἀντικαταστήσεται, ἡ γὰρ τεχνή, τὴν ἐπιστήμην παρέχειν δυναμένη, οἵα τ' ἔσται τὴν τῶν ἀρχαιῶν βιβλιοθηκῶν εὐοσμίαν παρέχειν;*

**Need sleep? Don't count sheep - State of the Union address**
(03-02-05)

*Δεῖ σε καθεύδειν; μὴ πρόβατα ἀρίθμει*

*Ἐξετασταί τινες ᾔσθηνται τὴν ἡδεῖαν μουσικὴν τοῖς γέρουσι καθεύδειν συμπραττοῦσαν, βαθὺ γὰρ κῶμα τοῖς αὐτὴν ἀκούουσιν ἐπιπίπτει· ὁ μὲν τῆς καρδίας ῥυθμὸς καὶ ὁ τῆς ἀτμῆς βραδύτερος γίγνεται, τοὐναντίον δέ, τὸ πρόβατα ἀριθμεῖν ἄκαρπόν τε καὶ λυπηρόν ἐστιν· οὗτοι οἱ ἐξετασταὶ ἐν τῷ Ζοῦ Ξὶ (Ταιουᾶν) πανεπιστημίῳ ἐργάζονται (ἢ "καθεύδουσι" λέγειν ἴσως βελτίον ἂν εἴη).*

*τήμερον πειράσομαι.*

*Ὁ περὶ τῆς τῶν πόλεων καταστάσεως λόγος*

*Χθὲς ὁ πρόεδρος Γ. Βοῦιξ λόγῳ πεντήκοντα καὶ τρία λεπτὰ διαμένοντι τὸ πρὸς τὰ τέτταρα ἐπιγιγνόμενα ἔτη βούλευμα ἔδειξεν, τὴν γὰρ δεύτεραν ἀρχὴν νῦν εἰς χεῖρας λήψεται· ὁ μὲν λόγος πολλάκις τοῖς τῶν βουλευτῶν ἀνεστώτων κρότοις ἐπαύετο, ὁ δὲ Βοῦιξ τῆς καινῆς ἐν τῷ Ἰρὰκ νίκης μνήμην ἐποίησεν, νῦν μὲν γὰρ δημοκρατίᾳ χρῶνται οἱ Ἰράκιοι πολῖται, τὸ πρόσθεν δικτατωρείαν παθόντες, οἱ δὲ τρομοκράται, πειράσαντες τοὺς πολίτας μὴ τὴν ψῆφον θέσθαι, ἥττηνται· ὑπίσχετο δὲ ὁ πρόεδρος καὶ βοηθήσειν τοῖς ὑπὲρ τῆς ἐλευθερίας μαχομένοις.*

**Max Schmelling dies at 99 - White House searching for new chef**
(07-02-05)

*Ὁ Μὰξ Σμέλλιγγ, ἐνενήκοντα καὶ ἐννέα ἔτη γεγονώς, τέθνηκεν*

*Ὁ ἔνδοξος Γερμανικὸς πύκτης Μὰξ Σμέλλιγγ ἐγγὺς τῆς πόλεως Ἄμβουργ τέθνηκεν· ὁ μὲν Μὰξ Σμέλλιγγ παγκόσμιος νικητὴς ἐν τῷ πυκτικῇ ἐγένετο, ὁ δὲ βίος τούτου τοῦ πύκτου τοῖς ἱστορικοῖς γενομένοις δεδεμένος ἐστίν, ὁ γὰρ Ἴτληρ ταῖς νίκαις αὐτοῦ πολιτικῶς χρῆσθαι ἐπείρασεν, μάλιστα δὲ διότι ὁ Σμέλλιγγ τὸν Ἀφρικανὸν πύκτην Χόη Λοῦις ἐνίκησεν· ὅμως δέ, ὁ Μὰξ Σμέλλιγγ οὐ μόνον τῷ Ἴτληρ ἠναντιώθη ἀλλὰ καὶ πολλοῖς Ἰουδαίοις συνέπραξεν ὅπως φεύξονται.*

*ἔπειτα δέ, τοῦ Δευτέρου Παγκοσμίου Πολέμου ἐν τῇ νήσῳ Κρήτῃ τρωθείς, φιλαίτατος ἐγένετο τῷ Χόη Λοῦις, ᾧ καὶ ἐβοήθησε χρήματα διδούς.*

*ἐκεῖνος ὁ εὐκλεὴς πύκτης ὑπὸ πάντων τῶν Γερμάνων δικαίως τιμᾶται.*

*<u>Νέον ἀρχιμαγείρου δεῖ τῇ Λευκῇ Οἰκίᾳ</u>*

*Ὁ Οὐάλτηρ Σεῖβ, ἀρχιμάγειρος τῇ Λευκῇ Οἰκίᾳ διὰ ἕνδεκα ἐτῶν, μέλλει νῦν τὴν ἐργασίαν ἀπολείπειν, τῷ δὲ προέδρῳ ἄλλου τινὸς δεῖ· ὅμως δέ, ὑπέσχετο ὁ Ο. Σ. ἐν τῷ παρόντι ἐν τῇ Λευκῇ Οἰκίᾳ διαμενεῖν ἕως ἄλλον ἀρχιμάγειρον εὕρωσιν ἄν· λέγει δὲ καὶ ὅτι ἄπεισι διότι ἄλλας εὐκαιρίας πειρᾶν βούλεται.*

*ὁ τῆς Λευκῆς Οἰκίας ἀρχιμάγειρος, ὅστις ἂν ὢν τυγχάνῃ, παρασκευάζει οὐ μόνον τὸ δεῖπνον τοῖς τοῦ προέδρου οἰκέταις ἀλλὰ καὶ πολλὰς ἑστιάσεις μυρίοις ξένοις.*

**North Korea says it has nuclear weapons - Pope leaves hospital for Vatican**
(10-02-05)

*<u>Ἡ Βορεία Κωρέα διαβεβαιοῦται ὅτι ἀτομικοὺς πυραύλους ἔχει</u>*

*Ἡ Β. Κ. τῆς περὶ τῶν ἀτομικῶν πυραύλων πραγματείας ἐξέστηκεν, βούλεται δὲ τὴν ἑαυτῆς ἀτομικὴν θήκην αὐξάνειν· νῦν δὴ τὸ πρῶτον αὕτη ἡ χώρα ὁμολογεῖ τοιούτους πυραύλους ἔχουσα, καίπερ πολλῶν ἐμπείρων ἐπιστημονικῶν διαβεβαιουμένων ὅτι ἡ Β. Κ. οὐ τἀληθῆ λέγει ἅτε πειρῶσα τὰς ΗΑΠ ἐκφοβεῖν.*

*διὰ δὲ τοῦτο τὸ βούλευμα ἐρημοτέρα ἡ Β. Κ. ἔσται, τῶν γὰρ ΗΑΠ ἐπιμελουμενῶν ὅπως οἱ τῆς Β. Κ. πολῖται ἐλευθερώτεροι γενήσονται, ἡ οἰκονομικὴ ἀπορία ἐν ταύτῃ τῇ χώρᾳ αὐξάνει, ἡ γὰρ ἀρχὴ τὸ ἥμισυ τῶν δημοσίων χρημάτων εἰς τὴν στρατιωτικὴν δαπάνην εἰστίθησιν.*

*<u>Ὁ τῶν Χριστιανῶν ἄρχων ἐκ τοῦ νοσοκομείου εἰς τὸ Βατικάνον ἐξέρχεται</u>*

*Ὁ μὲν ἄρχων Ἰωάννης Παῦλος ὁ Δεύτερος, ἤδη ὀγδοήκοντα καὶ τέτταρα ἔτη γεγονώς, εἰς τὸ νοσοκομεῖον εἰσελήλυθει δυσπνοίας ἕνεκα, ὁ δὲ τοῦ Βατικάνου φερέφωνος εἶπε τήμερον ὅτι ὁ ἄρχων πάλιν ὑγιαίνοι.*

*ὅμως δέ, πολλοὶ λέγουσιν ὅτι οὕτως ἀσθενεῖ ὁ ἄρχων ὥστε ἀκριβῶς μὲν ἐργάζεσθαι οὐχ οἷός τ' εἶναι, δεῖν δὲ αὐτῷ διάδοχον δοῦναι· τοῦτο δὲ ἰδεῖν ἔξεστι ὁπόταν δημοσίᾳ παρουσίαν ἔχῃ.*

**New book by Umberto Eco, great success in Italy - Stay fit on the road**
(13-02-05)

*<u>Ἡ νέα βίβλος τοῦ Οὐμβέρτω Ἔκω εὐτυχεῖ ἐν τῇ Ἰταλίᾳ</u>*

*Ἡ βίβλος, κατὰ τὴν ἐπιγραφὴν "Ἡ μυστικὴ φλὸξ τῆς βασιλείας Λοάνα", σύγγραμμά ἐστιν ἐν ᾧ ὁ Ἰταλιανὸς συγγραφεὺς τὴν μνήμην καταλείπει τήν τε τῆς ἑαυτοῦ παιδικῆς ἡλικίας καὶ τὴν κοινὴν*

*ἱστορικὴν τῆς Ἰταλίας· ἡ δὲ βίβλος πολλὰς εἰκόνας ἔχει αἳ τῷ ἀναγιγνώσκοντι βοηθοῦσιν· ὁ δὴ πρωταγωνιστὴς ἄνθρωπός τίς ἐστιν ὃς κακόν τι ἀτύχημα παθὼν ἄμνηστος μὲν γίγνεται, ἐν δὲ μνήμῃ φυλάττει οὐδὲν μὲν ἄλλο ἢ τὰ ἱστορικὰ συμβαίνοντα, οὐ μέντοι τὰ τοῦ ἑαυτοῦ βίου, δεῖ δὲ αὐτὸν τὴν ἑαυτοῦ προσθίαν ἱστορίαν διὰ εἰκόνων εὑρεῖν· λέγει δὲ ὁ συγγραφεὺς ὅτι ὁ μὲν βίος ἀνταύγειά ἐστι τῆς παιδικῆς ἡλικίας, πᾶς δὲ ἄνθρωπος, καὶ ἐὰν σοφὸς ᾖ δολοφόνος ᾖ, ὁπόταν ἀποθάνῃ μόνον ταύτης τῆς ἡλικίας μνήσεται.*

*<u>Ὁπόταν πορεύῃς, γυμνάζου</u>*

*Ἡ Λίσα Οὐίληρ, ἔνδοξός τε καὶ ἔμπειρος γυνὴ περὶ τῆς ὑγιείας, παρήνησε χθὲς ἐν συμποσίῳ περὶ τόδε, ὅ τι δεῖ ποιεῖν ὁπόταν πορεύῃς ἵνα μὴ πιαίνῃ· ὡς ἔπος εἰπεῖν, παρήνησε τοῖς πορεύουσι γυμνάζεσθαι καὶ μὴ ἀργοὶ κατακεῖσθαι· κατὰ δὲ τὴν Λίσαν, πρὸς τῷ τὴν ἐργασίαν καὶ τὰς συνόδους παρασκευάζειν, δεῖ καὶ τὰ γυμνάσια προορᾶν· ἀδύνατον γὰρ ὂν τότε εἰς τὸ γυμνάσιον ἐλθεῖν, ἔξεστι ἐν παραδείσῳ ἐγγὺς τοῦ πανδοκείου τρέχειν, εἰ τυγχάνει τις ὤν, ἅμα δὲ τῷ ἕῳ καιριώτατόν ἐστιν· ὅμως δέ, ἐλιπάρησεν ἡ Λ. Ο. τῇ σιτήσει πλέον τοῦ δέοντος, περὶ δὲ τούτου ἁμαρτάνει, εἰ γὰρ ἱκανῶς σὺ γυμνάζει, οὐδὲν διαφέρει ὅ τι ἐσθίεις.*

**Beirut burial gathers anti-Syrian feelings - Chinese writer Shan Sa goes on succeeding**
(17-02-05)

*<u>Ἡ ἐν τῷ Βηρίτῳ ἐκφορὰ τὸ ἐπὶ τὴν Συρίαν μῖσος συναγείρει</u>*

*Ἡ τοῦ Λιβανικοῦ πρωθυπουργοῦ Ἤλ Ἀρίρι ἐκφορὰ ἐγένετο χθὲς δημοτικὴ πολιτικὴ διαδήλωσις ἐπὶ τὴν Συρίαν· τοῖς δὲ τοῦ Η. Α. συγγενέσι ἔδοξε βελτιον εἶναι τοὺς πολιτικοὺς τῇ ἐκφορᾷ μὴ παρεῖναι, μόνον δὴ τὸν δῆμον, ἅτε τῶν του Λυβάνου πολιτῶν τὴν τῆς Συρίας ἀρχὴν τῆς δολοφονίας αἰτιωμένων· ὁ δὲ Η. Α., γενομένος τις τῶν ἐν τῇ οἰκουμένῃ πλουσιωτάτων ἀνθρώπων, οὐ μὲν πλουσίως, δημοτικῶς δὲ ἐτάφη.*

*ἡ μὲν Συρία ᾔτησε χθὲς τὸ Ἰρὰν συμμαχίαν ἐπὶ τὰς ΗΑΠ ποιεῖσθαι, ἐὰν αὗται ἐπιθῶνται, ἡ δὲ ἐν τῷ Δαμάσκῳ ἀρχὴ οὐδὲν ἔτι ἀποκέκρικεν.*

*<u>Ἡ Σινικὴ συγγραφεῖα Σιὰν Σὰ συνεχῶς εὐτυχεῖ</u>*

*Ἔτι παῖς οὖσα, ἡ Σιὰν Σὰ ἐν τῷ Πεκίνῳ τὰ τῆς Τὰγγ δυναστείας ποιήματα κατέλεγεν· ἔπειτα δὲ ποιήτρια μάλιστα ὑπὸ τῆς κομμουνιστικῆς ἀρχῆς τιμημένα ἐγένετο· ὅμως δέ, ἤδη ἑκκαίδεκα ἔτη γεγονυῖα, ἐκ τῆς αὐτῆς χώρας ἐξέφυγεν, ἀναγκαῖον γὰρ ἦν, τοῦ ἐν τῇ Τιανανμὲν ἀγορᾷ νεωτερισμοῦ μετασχοῦσα· νῦν δέ, ἤδη τριάκοντα καὶ δύο ἔτη γεγονυῖα, ἔνδοξος γέγονε τῇ Γαλλικῇ γλώττῃ χρωμένη.*

*ἐν δὲ τῇ ὑστάτῃ βίβλῳ διηγεῖται τὸν γυναικὸς τινὸς βίον, ἣ εἰς τὴν τοῦ τῆς Σίνης βασιλέως γυναικηΐην ἐγκριναμένη ἐν τοῖς βασιλείοις μείζονα ῥοπὴν καθ' ἑκάστην τὴν ἡμέραν ἔχει, τέλος δὲ βασίλεια αὐτὴ γίγνεται· ἡ τῆς βίβλου ἐπιγραφὴ "Βασίλειά" ἐστιν.*

**Mass escape at Haitian prison - Bush heads to Europe**
(20-02-05)

*Πολλοὶ ἐν δεσμωτηρίου ἐν τῇ Ἀΐτῃ ἐκφεύγουσιν*

*Πλείονες ἢ τριακόσιοι καὶ πεντήκοντα δεσμῶται ἐξέφυγον ἐκ τοῦ ἐν τῇ Ἀΐτῃ μεγίστου δεσμωτηρίου, ἐπειδὴ ἄνθρωποί τινες ὅπλα τε ἔχοντες καὶ τὸ πρόσωπον καλυπτοὶ ἐπέθεντο, δυοῖν αὐτοκινητοῖς χρώμενοι· λέγεται δὲ ὅτι τὸν Ὑβόνα Νεπτύνην, τὸν πρόσθιον πρωθυπουργόν, ἐλευθερῶσαι ἐπείρων, τοῦ γὰρ προσθίου προέδρου Ἀριστείδου ἐκ τῆς χώρας ἐκφυγόντος ὁ Νεπτύνης ἑάλω, αἴτιος ὢν πολλῶν δολοφονιῶν, ὡς δικασθησόμενος· τῆς δε ἐπιθήσεως γιγνομένης, μύριοι δεσμῶται ἐν τῷ δεσμωτηρίῳ, ἐγγὺς τῶν τοῦ προέδρου βασιλείων κειμένῳ, ἐνῆσαν, καὶ εἰ κατὰ τοὺς νόμους δεῖ ἐκεῖνο τὸ οἰκοδόμημα μόνους ἑξακοσίους κατέχειν.*

*Ὁ Βοῦιξ πρὸς τὴν Εὐρώπην προσέρχεται*

*Ὁ τῶν ΗΑΠ πρόεδρος Γ. Βοῦιξ πόριμον πορείαν διὰ τετταρῶν Εὐρωπαϊκῶν χωρῶν τήμερον ἄρξεται ἵνα τὴν τῆς Εὐρώπης πρὸς τὰς ΗΑΠ φιλίαν πάλιν κτᾶται· ἡ μὲν πορεία πέντε ἡμέρας διαμενεῖ, ἡ δὲ πρώτη σύνοδος ἐν τοῖς Βρυξέλλεσι γενήσεται· δεύτερον δὲ ὁ Βοῦιξ τῷ Ἰάκωβ Σιρὰκ, τῷ Γαλλικῷ προέδρῳ, αὔριον συντεύξεται, ἄμφω γὰρ διαβεβαιοῦνται ὅτι δεῖ τὴν τῶν ἀτομικῶν ὅπλων αὔξησιν ἔν τε τῇ Βορεαίᾳ Κωρέᾳ καὶ ἐν τῷ Ἰρὰν κωλύειν· τῇ δὲ Τρίτῃ τῷ Βλαῖρ ὄρθου προσελεύσεται καί, τούτῳ διαλεξάμενος, τῇ Τετάρτῃ ἐν τῇ Γερμανίᾳ ἐξ ἑωθινοῦ μέχρι δείλης μενεῖ ἵνα τῷ Σροέδηρ συντύχῃ· τῆς δε πορείας ἐν τῇ Βρατισλάβῃ τελευτώσης, ὁ Βοῦιξ τῷ Ποῦτιν ἐντεύξεται, αὕτη δὲ ἡ ἔντευξις χαλεπωτάτη ἔσται, οἱ γὰρ τῆς Ῥωσίας πολῖται καθ' ἡμέραν ἧττον ἐλεύθεροι γίγνονται (χρὴ γὰρ μνήσασθαι ὅτι ὁ Ποῦτιν τῷ ΚΓΒ ἠργάσετο).*

**Identification of 9/11 remains comes to an end - Satanic group jailed for slaying**
(23-02-05)

*Οὐκ ἔξεστιν ἤδη πλείονα λείψανα ἐκ τῆς θ'-ια' ἡμέρας ἐπιγιγνώσκειν*

*Οἱ μὲν ἐπιστήμονες ἤδη πάντα τὰ λείψανα τῇ τεχνῇ τῆς ΔΝΑ χρώμενοι διεσκόπησαν, ὀλίγου δὲ τὸ τῶν συγγενῶν ἥμισυ οὐδεμίαν νεκρὸν θάπτειν ἔξουσι, τοῦ ἀποθανόντος συγγενοῦς αὐτῶν οὐχ εὑρεθέντος· τῇ μὲν τρομοκρατικῇ προσβολῇ δισχίλιοι καὶ ἑπτακόσιοι καὶ τετταράκοντα καὶ ἐννέα ἄνθρωποι ἀπέθανον, ἐκ δὲ τούτων μόνον χίλιοι καὶ πεντακόσιοι καὶ ὀγδοήκοντα καὶ πέντε ἐπιγνωσμένοι εἰσὶ τῆς βιολογικῆς τεχνῆς χάριν· μετὰ δὴ τὴν προσβολὴν οἱ ἰατροὶ σχεδὸν δισμύρια ἀνθρωπινὰ λείψανα ἐδέξαντο, ἐξ ὧν ἧττον ἢ τριακόσια ὅλα σώματα ἦν.*

*Σατανικὴ σύστασις τῷ δεσμωτηρίῳ κατεδικάσθη φονῆς*

*Δύω ἄνδρες συστάσεως τινὸς "Τὰ τοῦ Σατανᾶ θηρία" καλουμένης, ὁμολογήσαντες ὅτι τρεῖς νεανίας κατὰ τὸν σατανικὸν νόμον ἐφόνευσαν, τῷ δεσμωτηρίῳ χθὲς κατεγνώθησαν· ἡ μὲν πρώτη τελετὴ ἐγένετο ἐγγὺς τῆς πόλεως Μῖλαν, ἐν τῇ Ἰταλίᾳ, ἤδη ἕβδομον ἔτος, τότε δὴ δύο νεανίας ἀπέκτειναν, τὸ δὲ πέρυσιν ἄλλον τινὰ νεανίαν ἀπέκτειναν ἄλλης τελετῆς ἕνεκα· αὕτη δὲ ἡ καταδίκη νῦν τυγχάνει ἐν ᾧ πολλὰ μεριμνῶσιν οἱ πολῖται ἐν τῇ Ἰταλίᾳ διότι οἱ νεανίαι τῷ σατανισμῷ ἐπὶ πλέον καθ' ἡμέραν λειτουργοῦσιν. τῇ δὲ τελευταίᾳ ἑβδομάδι πανεπιστήμιόν τι ὃ τῷ Βατικάνῳ κοινωνεῖ νέαν παιδείαν ἤρξατο περὶ τῆς τε διαβολικῆς κτήσεως καὶ τοῦ ἐξορκισμοῦ.*

**Amnesty International founder dead - Roman Circus found in Colchester, U. K.**
(27-02-05)

<u>*Ὁ τὴν Διεθνῆ Ἀμνηστίαν κτίσας ἀποθνῄσκει*</u>

*Ὁ Πέτρος Βενήνσων, ὁ τὸν σύλλογον κτίσας ὑπὲρ τῶν ἀνθρωπινῶν δικαίων μαχόμενον, τῇ Παρασκευῇ ἀπέθανεν. ὁ δὲ Π. Β., ὀγδοήκοντα καὶ τρία ἔτη γενονώς, τὸν σύλλογον ἔκτισεν ὡς σύνδικος ἐργαζόμενος· πρῶτον μέν, οὗτος ὁ συλλογος μόνον ἐνιαυτὸν διαμενεῖν ἔμελλεν ἵνα ἓξ δεσμώτας ἐν τῇ Πορτογαλίᾳ ἐλευθερώσειεν, ἔπειτα δὲ εἰς τὸ ἀεὶ διέμεινεν ὡς τὰ ἀνθρωπινὰ δίκαια ἀλεξήσων· ὅμως δέ, οὗτος ὁ σύλλογος κακῶς συνεχῶς ἀκούει ἅτε τὰ ἀδικήματα ἐν ταῖς κομμουνιστικαῖς δικτατωρείαις οὐχ ὅπως ψέγων ἀλλὰ καὶ αὐτὰ ἀρνούμενος, πολλάκις γὰρ οὕτως πράττει· οὗτος δὲ ὁ σύλλογος δύο ἑκατομμύρια ἐν τῇ οἰκουμένῃ ἔχει. ὁ δὲ Π. Β. ἐν νοσοκομείῳ ἐν τῇ πόλει Ὀξφόρδῃ ἀπέθανεν.*

<u>*Ῥωμαϊκὸν ἱππόδρομον ἐν τῷ Κόλσιεστερ εὑρίσκουσιν*</u>

*Κατὰ τὸν μῦθον, τὸ Καμελῶτον ἐν τῷ Κόλσιεστερ ἔκειτο, νῦν δὲ οἱ ἀρχαιόλογοι τὰ ἱπποδρόμου τινὸς λείψανα ηὑρήκασιν· οὗτος μὲν ὁ ἱππόδρομος ὀρθὴ ὁδὸς ἦν τριακόσια καὶ πεντήκοντα μέτρα τὸ μῆκος, ὀκτὼ δὲ χιλίοις θεαταῖς ἐξῆν ἐκεῖ τὰς ἱπποδρομίας θεᾶσθαι. τὸ μὲν Κόλσιεστερ ἀρχαιοτάτη πόλις ἐν τῇ Βριταννίᾳ ἐστίν, ὁ δὲ Καῖσαρ Κλαύδιος ἐκεῖσε ἐκ τῆς Ῥώμης ἦλθεν ἵνα τοὺς Κελτικοὺς βασιλέας τοῖς Ῥωμαίοις προσχωροῦντας ὑποδέχοιτο. αὕτη μὲν ἡ πόλις ἔχει καὶ Ῥωμαϊκὸν τεῖχος καὶ νεὼν τοῦ Κλαυδίου, ὁ δὲ ἀρχαιόλογος Φιλίππος Κροῦμμι λέγει ὅτι τὸν ἱππόδρομον τῆς δευτέρας ἑκατονταετίας ᾠκοδόμησαν ἄλλῳ τινὶ προσθίῳ χρώμενοι.*

**Saddam tribunal judge killed - Teachers in Berkeley refuse to give homework**
(02-03-05)

<u>*Κριτὴς ὃς τὸν Σαδδὰμ συνδικάσειν ἔμελλεν ὑπὸ φονέως ἀποθνῄσκει*</u>

*Κριτήν τινα ὃς τὸν Σαδδὰμ συνδικάσειν ἔμελλεν ἀπέκτειναν χθὲς ἐν τῇ Βαγδάτῃ, ὁ δὲ υἱὸς αὐτοῦ, σύνδικος ὢν τὸ ἐπιτήδευμα, καὶ ἀπέθανεν· περὶ μὲν τῆς δίκης αὐτῆς, ἔτι καὶ νῦν οὐδεὶς οἶδεν ὁπότε αὕτη γενήσεται, οἱ δὲ Σουνίες, οἵ τῷ Σαδδὰμ ἐπεκούρουν (αὐτὸς γὰρ Σουνίτης ἐτύγχανεν ὤν), πᾶσαν σπουδὴν ἐποιήσαντο ὥστε αἱ ἀρχαιρεσίαι μὴ γενέσθαι καὶ ἔτι ποιοῦνται καὶ ποιήσονται ὥστε μὴ τὸν Σαδδὰμ εἰς δίκην καλεῖσθαι·*

*τοὐναντίον δέ, οἱ Σιῖται ὑπὲρ τῆς δίκης φαίνονται· ὅμως δὲ λέγουσί τινες ὅτι οὗτοι οἱ δύο ἄνδρες ἀποτεθνήκασιν οὐ μέντοι διότι τὸν Σαδδὰμ δικάζειν ἔμελλον, ἀλλὰ διότι ἔτυχον Κοῦρδοι ὄντες.*

<u>*Οἱ ἐν τῷ Βερκέλει διδασκαλοι οὐκ ἐθέλουσιν μελέτας οἴκοι πρακτέας προστάττειν*</u>

*Οἱ μαθηταὶ οἱ τοῦ μαθητικοῦ Βερκελείου δήμου μελέτας οἴκοι πρακτέας οὐ δέχονται διότι οἱ διδασκαλοι αὐτὰς τῆς ἑαυτῶν σχολῆς ἐπισκοπεῖν οὐκ ἐθέλουσιν, ἤδη γὰρ δεύτερον ἔτος ὁ μισθὸς αὐτῶν οὐκ αὐξάνεται·*

*πράξεις δὲ τινὰς ἃς σχολῆς οἱ μαθηταὶ πράττειν ἔμελλον ἐδέησεν ἀναιρεῖν, τῶν διδασκάλων ἐργάζεσθαι μόνον ὅ τι ἂν κατὰ τὴν συγγραφὴν ἀνάγκη ᾖ γνόντων· ὁ δὲ τοῦ δήμου ἐπιστάτης τοῖς*

*μὲν διδασκάλοις συμπαθεῖ, λέγει δὲ ὅτι τῇ ἀρχῇ οὐκ ἐστι χρήματα ἅτινα τοὺς μισθοὺς ἂν αὐξάνῃ.*

**Steve Fosset completes first solo flight around the world - Walking ancestor's fossils found in Ethiopia**
(06-03-05)

<u>Ὁ Στέφανος Φώσσητ πρῶτος τὴν περὶ τοῦ κόσμου περίοδον μόνος διατελεῖ</u>

Ὁ Στέφανος Φώσσητ, ἑκήκοντα καὶ ἑπτὰ ὥρας πτόμενος, εἰς τὸ Κάνσας ἐπανῆλθεν, ὅθεν ἀπελήλυθει· ὁ δὲ τοῦ ἀεροσκάφους κυβερνήτης, ἤδη ἑξήκοντα ἔτη γεγονώς, ὑπὲρ τῆς Ἀγγλίας καὶ τῆς Μεσογείου Θαλάττης καὶ τῆς Ἀφρικῆς καὶ τοῦ Πακιστᾶν καὶ τῆς Ἰνδίας καὶ τῆς Σίνης καὶ τῆς Ἰαπωνίας καὶ τοῦ Εἰρηνικοῦ Ὠκεανοῦ ἔπτετο· οὗτος δὲ ὁ ἄνθρωπος, ὃς πλουσιώτατος ὢν τυγχάνει (διὰ δὲ τοῦτο σχολὴ αὐτῷ ἐστι), τοῦτο μὲν ἐποιήσατο μόνον καθ' ἡδονήν, ἄλλα δὲ ὁμοῖα πεποίηκε κατὰ θάλατταν περιπλέων· διὰ δὲ ὅλης τῆς περίοδου ὁ Σ. Φ. ἐνίας μὲν ὥρας μὲν καθηύδησεν, ὡς δὲ ὑψηλότατα ἐπέτετο ἵνα τῷ ἀέρι ῥέοντι χρῷτο καὶ τοῦ ὑγροῦ κανσίμου φείδοιτο.

<u>Τὰ τοῦ βαδίθοντος προγόνου λείψανα ἐν τῇ Αἰθιοπίᾳ εὑρίσκουσιν</u>

Ἐπιστήμονές τινες Ἀμερικανοί τε καὶ Αἰθίοπες τὰ τοῦ ἀνθρωπινοῦ προγόνου τὸ πρῶτον βαίνοντος ὀρυκτὰ λείψανα ηὑρήκασιν· οὗτος δὲ ὁ ἄνθρωπος ἤδη τὸ τέταρτον ἑκατομμύριον ἐβίω· τὸ δὲ πρόβλημα τόδε ἐστίν· ὁπόταν μέν τις νέου εὑρήματος τυγχάνῃ, δεῖ τὴν περὶ τῆς ἀνθρωπινῆς μεταβολῆς θεωρίαν ἐπανορθοῦν, τὰ γὰρ ὕστατα εὑρήματα (ἡ Λοῦσι καὶ τὰ ἐν τῇ Ἀταπουέρκᾳ λείψανα καὶ τὰ λοιπά) τὰς θεωρίας διὰ πολλῶν ἐτῶν κυριεύουσας ἀκύρους ἐποίησαν, δεῖ δὲ νῦν πάλιν πάντα μεταβαλεῖν·

*καὶ δὴ καὶ οὐ τέλος ἔχει ἡ ἅμιλλα τῶν λεγόντων ὅτι ὁ ἄνθρωπος ὑπὸ τοῦ Θεοῦ ἐπλάσθη ἐπὶ τοὺς λέγοντας ὅτι προβάδην μετεβάλλετο.*

**Copy of Rosetta Stone, to go from U.K. to Catalonia - Cars get ready for end of petroleum era**
(09-03-05)

<u>Ἀφομοίωμα τῆς Ῥωσῆττα λίθου εἰς τὴν Καταλονίαν ἀπὸ τῆς Ἀγγλίας πεμφθήσεται</u>

Ὁ Ἰωάννης Λόπηθ, ἐν μὲν τῷ Γιβραλτὰρ γεγονώς, νῦν δὲ ἐν τῇ Καταλονίᾳ οἰκῶν, τὴν ἀρχαιολογίαν φιλεῖ καὶ τῆς Ἀγγέλης Θώμας φίλος ὢν τυγχάνει. ἡ δὲ Α. Θ. ἐπιστημονικὴ γυνή ἐστι ἣ τοῦ ἐν τῷ Βώλτονι μουσείου ἄρχει, ἐν τῇ Ἀγγλίᾳ· τῇ μὲν Α. Θ. ποτὲ διαλεγόμενος, ἐπύθετο ὁ Ι. Λ. ὅτι ἀφομοίωμά τις τῆς λίθου ἐν θήκῃ τινὶ ἐν τῷ μουσείῳ ἤδη πεντηκοστὸν ἔτος κεῖται, αὐτὴν δὲ αἰτήσας ἐκτήσατο.

*στρατιώτης μέν τις τοῦ στρατηγοῦ Ναπωλεόνος, ἐν τῇ Ἀλεξανδρείᾳ φρουρίου οἰκοδομουμένου, τὴν λίθον ἐν τῇ Αἰγύπτῳ ηὗρεν, ὁ δὲ Σιαμπολλιών, ἐπιστήμων τις ὃς τῷ στρατεύματι συνηκολούθει, τῇ λίθῳ χρώμενος τὰ Αἰγύπτια ἱερογλυφικὰ ἡρμήνευσεν, οὐδενὸς τὸ πρόσθεν δυναμένου.*

Τὰ αὐτοκίνητα ἑτοῖμα γίγνεται τῷ ἄνευ πετρελαίου χρόνῳ

Ἡμεῖς πάντες ἴσμεν ὅτι τοῦ πετρελαίου ἐνδεῖ, τὰ γὰρ ἐνόντα οὐκ εἰς ἀεὶ μενεῖ, διὰ δὲ ταῦτα οἱ αὐτοκίνητα ἐργαζόμενοι ἤδη ἄλλην τινὰ ἐνέργειαν ζητοῦσιν· χρόνος δὲ ἐνέσται, ἀλλὰ πολλῶν γνώμων κειμένων τὸ ὑδρογόνον δοκεῖ τὸ βέλτιστον εἶναι, τὰ γὰρ αὐτοκίνητα ὑδρογόνῳ χρώμενα ἴσως τρέχει, καὶ δὴ καὶ σιωπηλότατά ἐστιν· τὸ δὲ πρόβλημα τόδε ἐστίν· οὔπω ἔξεστι πολὺ ὑδρογόνον ἐργάζεσθαι, ἔνιοι δὲ ἐπιστήμονες ἤδη ἐπιμελοῦνται ὅπως πολὺ ὑδρογόνον ἐργάζεσθαι ἔξεσται·

**British Parliament approves polemic antiterrorist law - Everest, how tall are you?**
(12-03-05)

Ἡ Βριτανικὴ Βουλὴ τὸν ἀντιτρομοκρατικὸν νόμον δέχεται

Ἡ Βριτανικὴ Βουλὴ τὸν ἀντιτρομοκρατικὸν νόμον ἐδέξατο περὶ οὗ πολὺ ἔν τε τῇ χώρᾳ καὶ ἐν τῇ βουλῇ αὐτῇ λέγεται, οἱ γὰρ βουλευταὶ πλεῖον ἢ τριάκοντα ὥρας περὶ τούτου διελέχθησαν· οὗτος δὲ ὁ νόμος τὴν ἀρχὴν τοὺς ὑπόπτους ἐν φυλακῇ ἔχειν ἐᾷ· οἱ μὲν λέγουσιν ὅτι τοῦτο τὸ παραπὰν οὐ δημοκρατικόν ἐστιν, παρὰ γὰρ πάντα τὰ δίκαια τυγχάνει ὄν, οἱ δὲ ὅτι ἀναγκαῖόν ἐστιν, ὁ μὲν γὰρ τρομοκρατικὸς κίνδυνος αὐξάνεται, αὐτὸν δὲ διαλύειν δεῖ· ἄλλοι τε καὶ οὗτος ὁ νόμος ἀντιτυπία ἐστὶ ταῖς τρομοκρατικαῖς ἐπιθέσεσι ἐν τῇ Νέᾳ Ἰώρκῃ γενομέναις.

Ὦ Ἐνερῆστ, ὡς ὑψηλὸν εἶ;

Σινικοὶ χαρτογράφοι ἐπὶ τὸ Ἐνερῆστ ἅμα τῷ ἔαρι ἀναβήσονται ἵνα τόδε τὸ ἐρώτημα ἀποκρίνωσιν· ὡς ὑψηλόν ἐστι τὸ ὑψηλότατον ὄρος τοῦ κόσμου; δημοσίᾳ μὲν τοῦτο τὸ ὄρος ὀκτὼ χίλια καὶ ὀκτακόσια καὶ τετταράκοντα καὶ ὀκτὼ μέτρα (,η ωμη') ὑψηλόν ἐστιν, ἐμέτρησαν γὰρ αὐτὸ ἤδη πεντκοστὸν ἔτος, ἔνιοι δὲ διαβεβαιοῦνται ὅτι ὑψηλότερόν ἐστι δύο μέτρα· τοῖς δὲ ἐν τῷ Ἱμαλαίᾳ οἰκοῦσι τοῦτο τὸ ὄρος πλεῖον ἢ μόνον ὄρος ἐστίν, αὐτὸ γὰρ "τὴν τοῦ κόσμου μητέρα" καλοῦσιν· καὶ δὴ καὶ τὸ τοῦ ὄρους ἄκρον καθ' ἐνιαυτὸν ἓξ ἑκατοστόμετρα πρὸς τὴν Σίναν προχωρεῖ.

**Ratzinger, elected Pope with the name of Benedict the XVI - Published new Greek grammar with exercises (for Spanish speakers)**
(19-04-05)

Ὁ Ῥαζίγγηρ, Πάπας ψηφισθείς, Βενέδικτος ἑκκαιδέκατος κληθήσεται

Τοῦ λευκοῦ καπνοῦ πρὸς τὸν οὐρανὸν ἀναβάντος, ὁ τῶν καρδιναλίων φερέφωνος "Πάπαν ἔχομεν" τοῖς ἐν τῇ ἀγορᾷ μείνουσιν ἐξεκήρυξεν· ὅμως δέ, ἐδέησεν ἐπὶ τετράκις ψηφίζειν, οἱ γὰρ καρδινάλιοι περὶ τοῦδε οὐχ ὡμολογοῦντο, τίς ὁ τοῦ Πέτρου διάδοχος γενέσθαι δέοι· ὁ δὲ Ῥαζίγγηρ νομίζεται ὀρθόδοξος εἶναι, τοὺς γὰρ νεωτερίζοντας ἀεὶ ἔψεγεν· ἐν δὲ τῇ Γερμανίᾳ ἤδη ἑβδομήκοντα καὶ ὀκτὼ ἔτη γεγονώς, οὗτος ὁ ἱερεὺς εἶπεν ἄρτι ὅτι ἡ μὲν καθολικὴ ἐκκλησία ναῦς εἴη καταδυομένη, δέοι δὲ αὐτὴν σῶσαι·

Νέαν Ἑλληνικὴν γραμματικὴν μελέτας ἔχουσαν ἐκδεδώκασι (τοῖς τῇ Ἰσπανικῇ γλώττᾳ

*χρωμένοις)*

*Ἡ Λοῦρδες Ῥόχας, ἣ τὴν Ἑλληνικὴν γλῶτταν ἐν τῷ τοῦ Μεξικοῦ πανεπιστημίῳ διδάσκει, χρησιμωτάτην γραμματικὴν γέγραπται τοῖς ταύτην τὴν γλῶτταν βαθέως μανθάνειν βουλομένοις· τὰ μὲν γὰρ ἐνόντα μεθοδικῶς ἐν τῇ πρώτῃ βίβλῳ ἀποδείκνυσιν, ἐν δὲ τῇ δευτέρᾳ βίβλῳ μελέτας γέγραπται συγκόλλως ἔχουσας τῇ ἀποδειχθείσῃ γραμματικῇ· οὕτως δέ, ἕκαστον γραμματικὸν μάθημα ἐν τῇ πρώτῃ βίβλῳ τὰς ἑαυτοῦ μελέτας ἐν τῇ δευτέρῃ ἔχει· αὗται δὴ αἱ μελέται παντοδαπαί εἰσιν· ἀναλύσεις καὶ ῥημάτων μεταβολαὶ καὶ μεταγραφαὶ κ.τ.λ., διὰ δὲ τούτου τοῦ συστήματος τὸ διδαχθὲν οὐ μόνον θεωρικῶς διδάσκεται ἀλλὰ καὶ πρακτικῶς ἀσκεῖται· καὶ δὴ καὶ ἐν ἑκάστῳ κεφαλαίῳ ἑκάστη μελέτη ἀριθμόν τινα δείκνυσι ὃς πρὸς τὴν ἀνταμοιβὸν γραμματικὴν ἐν τῇ ἑτέρᾳ βίβλῳ ἄγει.*

**Militants battle in Mecca - Japanese inns take you back in time**
(22-04-05)

*Μαχόμενοί τινες ἐν τῇ Μέκκᾳ μάχην συμβάλλουσιν*

*Ἰσλαμικοὶ μαχόμενοι πρὸς φύλακας τῆς Σαουδὶ Ἀραβίας ἔν τε τῇ πόλει Μέκκᾳ καὶ ἐν τῷ τῆς Ἰήδδα πόλεως λιμένι ἐμαχέσαντο, δύο δὲ ἄνθρωποι ἑκατέρωθι ἀπέθανον· καὶ δὴ καὶ ταύτῃ τῇ ἡμέρᾳ ἀστυνόμους ἀρχαιρεσίας ἐποιοῦντο οἱ πολῖται· οἱ δὲ ὑπὲρ τῆς Ἄλ Καΐδα μαχόμενοι τῷ γένει τῷ τῆς χώρας ἤδη ἐκ τοῦ παλαιοῦ ἄρχοντι ἀνθίστανται· τέτταρες μὲν ἰσλαμικοὶ ἐπείρωντο διὰ φυλακτικοῦ φρουρίου ἐν τῇ ὁδῷ κειμένου διαβῆναι, τῶν δὲ φυλάκων τὸν κινδύνον αἰσθομένων καὶ ἅτε αὐτοὺς κατέχειν βουλομένων οὗτοι οἱ τέτταρες ἀπέφυγον, διωκόντων δὲ τῶν φυλάκων ἤρξατο ἡ μάχη, πρῶτον μὲν ἐν τῇ ὁδῷ, ἔπειτα δὲ ἐν τῇ πόλει αὐτῇ.*

*Ἰαπωνικὰ πανδοκεῖα τοὺς (πλουσίους) ξένους πρὸς τὸν παρεληλυθότα χρόνον μεταφέρει*

*Τῇ μὲν ἑπτακαιδεκάτῃ ἑκατονταετίᾳ πολλὰ πανδοκεῖα ᾠκοδομήθη ἐν ταῖς Ἰαπωνικαῖς ὁδοῖς τοῖς δεσπόταις οἳ πανταχόθεν πρὸς τὴν Ἔδω πόλιν (τὸ νῦν Τοκίω καλουμένην) ἐπορεύοντο, νῦν δὲ οἱ τουρισταὶ τούτοις τοῖς πανδοκείοις χρῶνται ἵνα τῆς ἱστορίας αἰσθάνωνται, καὶ εἰ διὰ τέχνης τοῦτο ποιοῦσιν.*

*τοὺς δὲ ξένους δεῖ πρῶτον μὲν τὰς ὑποδέσεις λύσασθαι, ἔπειτα δὲ κιμόνον τε ἐνδύσασθαι καὶ κατὰ τοὺς ἀρχαιοὺς νόμους διάγειν (εἰκότως δὲ δεῖ καὶ Ἰαπωνικὸν ἔδεσμα ἐσθίειν)· τὸ μὲν θερμὸν λοῦτρον ἀξιολογώτατόν ἐστιν (ἔτι καὶ νῦν ἐν τῇ Ἰαπωνίᾳ), τὸ δὲ βαλανεῖον κοινόν ἐστιν (οὐ μέντοι τοῖς τε ἀνδράσι καὶ ταῖς γυναιξί), ἴδιον γὰρ βαλανεῖον οὔκ ἐστιν ἐν τοιούτοις πανδοκείοις· εἰ μὲν σὺ πολλὰ χρήματα ἔχεις ἔξεστί σοι ἐκεῖ ξενίζεσθαι, εἰ δὲ οὐκ ἔχεις δεῖ σε (καί με) περὶ τούτου ἀμνημονεύειν...*

**What must we do on St. George's Day? - Last Syrian troops leave Lebanon**
(25-04-05)

*Τί δεῖ τῇ τοῦ Ἁγίου Γεοργοῦ ἡμέρᾳ ποιεῖν;*

*Τί ποιοῦμεν ἐν τῇ Καταλωνίᾳ ταύτῃ τῇ ἡμέρᾳ; ἡμεῖς οἱ Καταλάνοι ἔθος ἔχομεν ἐκ τοῦ ἀρχαιοῦ, τόδε δέ ἐστιν· δεῖ τὸν μὲν ἄνδρα τῇ γυναικὶ ῥόδον, τὴν δὲ γυναῖκα τῷ ἀνδρὶ βίβλον παρέχειν·*

*ὥστε οὐκ ἂν ῥᾳδίως γνοίης ὁπόσα τε ῥόδα καὶ ὁπόσαι βίβλοι ταύτῃ τῇ ἡμέρᾳ καθ' ἐνιαυτὸν ἀποδίδονται.*

*ὁ δὲ "Αγιος Γεοργός, κατὰ τὸν μῦθον, Ῥωμαϊκὸς στρατιώτης ἦν· ἐν τῇ Καππαδοκίᾳ γεγονώς, τὸν μὲν τελευταῖον δράκοντα ἀπέκτεινεν, πάρθενον δέ, ἣ θυγάτηρ βασιλέως τινὸς οὖσα ἔτυχεν, οὕτως ἔσωσεν· μετὰ δὲ ταῦτα οὗτος ὁ δρακοφονεὺς προστάτης τῆς τε Ἀγγλίας καὶ τῆς Καταλωνίας ἐγένετο.*

*ταύτῃ δὴ τῇ ἡμέρᾳ, τῇ εἰκοστῷ καὶ τρίτῳ τοῦ Ἀπριλίου μηνός, ὅ τε Σέξπιρ καὶ ὁ Θερβάντες ἀπέθανον· ἡ δὲ μοῖρα τοῦτο ἐποίησεν;*

<u>Οἱ τελευταῖοι Σύριοι στρατιῶται τὸν Λίβανον ἀπολείπουσιν</u>

Οἱ τελευταῖοι Σύριοι στρατιῶται καὶ οἱ κατάσκοποι τήμερον τὸν Λίβανον ἀπέλιπον, πλὴν μικρᾶς τάξεως, αὕτη γὰρ ἡ τάξις αὔριον συμβολικὴν παρασκευὴν περὶ τῆς ἀποχωρήσεως ποιήσει· οἱ μὲν Συρίοι οὕτως τὸ κέλευσμα τὸ τοῦ Ἡνωμένων Ἐθνῶν Ὀργανισμοῦ τελοῦσιν, ὁ δὲ ΗΕΟ νῦν ἐπισκόπους ἐκεῖσε πέμψει ἵνα ἐξετάσωσι πότερον ἡ ἀναχώρησις ὀρθῶς ἐγένετο ἢ οὔκ· τοῦ δὴ πρωθυπουργοῦ βιαίως τῷ Φεβρουαρίῳ μηνὶ ἀποθανόντος, οἱ τοῦ Λιβάνου πολῖται περὶ τῆς Συρίας δεινῶς ὑπωπτεύοντο.

**New Airbus takes off - Farmer convicted of throwing employee to lions**
(28-04-05)

<u>Τὸ νέον Ἀερβοῦς ἀπογειώνεται</u>

Τὸ νέον ἀεροσκάφος τῆς Ἀερβοῦς ἐπιχειρήσεως εὐτυχῶς τὸ πρῶτον ἔπτατο, ἐν δὲ τῷ ἀεροσκάφει οὐ μὲν ἐπιβάται ἦσαν, μόνον δὲ τεχνικοὶ καὶ ἐπιστήμονες οἳ τὴν ἀεροπορίαν ἀκριβῶς ἐξήτασαν·

*ἡ μὲν πειρᾶ ἐν τῇ Γαλλικῇ πόλει Τουλοῦς ἐγένετο, πολλοὶ δὲ πολῖται πρὸς τὸ ἀεροδρόμον προσῆλθον ὡς θεασόμενοι· οἱ δὲ τοῦ ἀεροσκάφους κατασκευάσαντες διαβεβαιοῦνται ὅτι οἷόν τ' ἔσται πεντακοσίους καὶ τετταράκοντα ἐπιβάτας φέρειν· καὶ δὴ καὶ τοῦτο τὸ ἀεροσκάφος ἅμιλλαν ποιήσεται πρὸς τὴν Ἀμερικανὴν ἐπιχείρησιν Βώειγγ.*

*μετὰ δὲ τὴν πειρᾶν εἶπεν ὁ κυβερνήτης ὅτι ῥᾷστα αὐτὸ ἐκυβέρνησεν.*

<u>Γεωργὸν ἐξελέγχουσι περὶ τοῦ ἐργαστὴν τινα τοῖς λέουσι ὡς σῖτον παρέχειν</u>

Γεωργὸν ἐν τῇ Νοτίᾳ Ἀφρικῇ εἰς δίκην ὑπάγουσι περὶ τοῦδε, ὅτι ἐργαστὴν τοῖς λέουσι ὡς σῖτον παρέσχεν· οἱ δὲ ἐξετασταὶ ηὑρήκασι ἀνθρωπινὸν κρανίον τε καὶ ὀστᾶ τινα καὶ δάκτυλο ἐν τῷ τῶν λεόντων εἱργμῷ.

*ὁ μὲν γεωργὸς λέγει ὅτι ὁ ἐργαστὴς κατὰ τύχην εἰς τὸν εἱργμὸν εἰσέπεσεν, ἄλλοι δὲ ἐργασταὶ λέγουσιν ὅτι ὅ τε ἐργαστὴς καὶ ὁ γεωργὸς τὸ μὲν πρότερον ἀλλήλοις ἤρισαν, ἔπειτα δέ, τῷ ἐργαστῇ ἐπιχειρήσας, ὁ γεωργὸς ἔτι ζῶντα τοῖς λέουσιν ἔρριψεν.*

**Did Roman legions reach Bohemia? - 200 held after terrorist attacks in Cairo**
(01-05-05)

*<u>Ἀφίκοντο αἱ Ῥωμαϊκαὶ λεγεῶνες εἰς τὴν Βοημίαν;</u>*

*Τῷ ἕκτῳ ἔτει μ. τ. Χ. τῷ Καίσαρι Αὐγούστῳ ἔδοξε πρὸς τὴν μέσην Εὐρώπην στρατεύεσθαι ἵνα ταύτην τὴν χώραν εἰς εἰρήνην κατάγοι, ὁ γὰρ Γερμανικὸς Μακοβοῦδος, ὃς τῆς νῦν Βοημίας καλουμένης χώρας ἤρχετο, ἐκεῖ καθ' ἐνιαυτὸν μᾶλλον ἐκράτει· ὁ μὲν οὖν Αὔγουστος δύο στρατεύματα ἐξέπεμψε, ἕτερον δὲ ἔδει ἑτέρωθεν ἐπιθέσθαι· ὅμως δέ, ἐπαναστάσεως ἐν τῇ Πανωνίᾳ γενομένης, ἐδέησε τὴν βουλὴν μεταβαλεῖν.*

*νῦν δὲ ἐν τῇ πόλει Μέλνικ, ἐγγὺς τῆς Πράγης κειμένῃ, τὰ Ῥωμαϊκοῦ στρατοπέδου λείψανα ηὑρήκασιν· ἴσως δὴ τοῦ Καίσαρος τὰ στρατεύματα οὐκέτι πρὸς τὴν Βοημίαν ἀλλὰ πρὸς τὴν Πανωνίαν προσελθεῖν κελεύσαντος, τὸ μὲν ἕτερον στράτευμα ἐπανῆλθεν, τὸ δὲ ἕτερον τὸ κέλευσμα οὐ δεξάμενον πρὸς τὴν Βοημίαν προεχώρει, τοῦτο δὲ τὸ στρατόπεδον τὸ δεύτερον στράτευμα ᾠκοδόμησεν;*

*<u>Διακοσίους ὑπόπτους συλλαμβάνουσι μετὰ τὰς τρομοκρατικὰς ἐπιβολὰς ἐν τῷ Καίρῳ</u>*

*Διακοσίοι ἄνθρωποι συνελήφθησαν ἐν τῷ Καίρῳ τῶν ἐπιβολῶν ἕνεκα, οἱ δὲ φύλακες τὴν πρόνοιαν ηὔξησαν· πρῶτον μὲν τρομοκρατιστής τις ἐκ γεφύρας ἐπὶ ξένοι τουρισταὶ ἑαυτὸν ἔρριψεν, ἔπειτα δὲ δύο γυναῖκες ἐπὶ ἅμαξαν μεστὴν Ἰσραηλιτῶν τουριστῶν οὖσαν ἐπυροβόλησαν· οὐδεὶς μὲν ἐν ταύταις ταῖς ἐπιβολαῖς ἀπέθανεν, ὅμως δὲ τρομοκρατισταὶ ἐπιβολαὶ ἐν τῇ Αἰγύπτῳ ὡς τὰ πολλὰ οὐ συμβαίνουσιν, ἡ γὰρ ἀρχὴ τὸ τουρισμὸν μάλιστα φυλάττει.*

**Al Qaeda No. 3 seized in Pakistan - Obesity spreads to high incomes**
(04-05-05)

*<u>Ὁ τρίτος τῆς Ἄλ Καΐδα ἀρχῶν ἐν τῷ Πακιστὰν ἁλίσκεται</u>*

*Ὁ κατὰ τὴν ῥοπὴν τρίτος τῆς Ἄλ Καΐδα ἀρχῶν ἐν τῷ Πακιστάν ἑάλω, ἐγγὺς τοῦ ὅρου μεταξὺ ταύτης τῆς χώρας καὶ τοῦ Ἀφγανιστάν. καὶ δὴ καὶ ἄλλοι δέκα ἄνθρωποι, ὕποπτοι τρομοκρατίας ὄντες, ἑάλωσαν· ἄλλους τε καὶ τοῦτον τὸν τρομοκράτην, Λύβιον ὄντα, ὡς μάλιστα ἐζήτουν ἐν τῷ Πακιστάν οἱ ἐν τέλει.*

*κατὰ δὲ τὸν τῶν ΗΑΠ πρόεδρον Γ. Βοῦιξ σημαίνει τοῦτο ὅτι τὸν μὲν Βὶν Λάδην διὰ τάχους λήψονται, ἐν δὲ τῷ ἐπὶ τὴν τρομοκρατίαν πολέμῳ κρατήσουσιν.*

*<u>Οἱ πλούσιοι πιότεροι γίγνονται</u>*

*Ἐν ταῖς ΗΑΠ οἱ πένητες πιότεροι τῶν πλουσίων ἦσαν (εἰσὶν δὲ ἔτι καὶ νῦν), οὗτοι δὲ ἐκείνοις καθ' ἐνιαυτὸν τὸ σῶμα προσχωροῦσιν· κατὰ γὰρ ἐξήτησίν τινα ὑπὸ τῆς Ἰέννιφερ Ῥόβινσον ἐν τῷ τῆς Ἰώονα Πανεπιστημίῳ πραχθεῖσαν, οἱ πλούσιοι καθ' ἐνιαυτὸν πιότεροι γίγνονται.*

*κατὰ δὲ ταύτην τὴν ἐξήτησιν ἡ παχύτης πολύπλοκον πρόβλημά ἐστιν, ἅτε πολλῶν αἰτιῶν κειμένων· ἐπιστήμῃ μὲν καὶ ἐμπειρίᾳ οἱ πλοῦσιοι ἀμείνονα σῖτον ἐσθίουσιν, αὕτη δὲ ἐπιδήμιος*

*νόσος αὐξάνεται, ἡ δὲ τοῦτο ἐξετάζουσα τὴν αἰτίαν ἀγνοεῖ· τά τε ἄλλα καὶ τῇ δευτέρῃ ἐπιγιγνομένῃ ἐξετάσει βούλεται αὐτὴν εὑρεῖν, νῦν γὰρ μόνον τὸ ἀποβαῖνον ηὗρεν.*

**Tony Blair, elected for a third term - Houston schools to fire six teachers in cheating scandal**
(07-05-05)

*Ὁ Τόνυ Βλαῖρ τὸ τρίτον αἱρεῖται*

*Ὁ Τόνυ Βλαῖρ, τῆς Βριταννίας πρωθυπουργός, ἐν ταῖς ἀρχαιρεσίαις τὸ τρίτον ἐνίκησεν, τῆς δὲ χώρας τὸ τρίτον ἄρξει· ὅμως δέ, οὐ μὲν τοσοῦτοι τῶν ψηφιζομένων αὐτῷ τὴν ψῆφον ἔθησαν ὅσοι τὸ πρότερον διὰ τὸν ἐν τῷ Ἰρᾶκ πόλεμον, λέγει δὲ ὁ νικήσας ὅτι μεταβολάς τινας εἰς τὴν νέαν ἀρχὴν εἰσθήσει.*

*"ἀκήκοα καὶ μεμάθηκα", ἔφη ὁ Βλαῖρ, "νομίζω δὲ νῦν σαφῶς εἰδέναι τί οἱ Βρεταννικοὶ πολῖται ἐκ ταύτης τῆς τρίτης ἀρχῆς προσδέχονται".*

*Διδασκαλεῖά τινα ἐν τῷ Οὔστωνι μέλλει ἓξ διδασκάλους ἐκβαλεῖν*

*Οἱ τοῦ μεγίστου διδασκαλικοῦ ἐν τῷ Τέξας δήμου ἐπιμεληταὶ διαβεβαιοῦνται ὅτι μέλλουσιν ἓξ διδασκάλους ἐκβαλεῖν, εὑρόντες τεκμήρια σημαίνοντα ὅτι οὗτοι οἱ διδάσκαλοι τοῖς ἑαυτῶν μαθηταῖς ἐβοήθησαν.*

*οἱ ἐπιμεληταὶ ἐξετάζειν ἤρξαντο ἅτε ἰδόντες τοὺς τῶν δοκιμασιῶν ἀποβαινόντας ἀριθμοὺς ὑψηλοτάτους ὄντας. ταύτας μὲν τὰς δοκιμασίας ἡ ἀρχὴ αὐτὴ τίθησι, οὐ μέντοι τὰ διδασκαλεῖα, πάντας δὲ τοὺς μαθητὰς τῆς χώρας τὴν αὐτὴν δοκιμασίαν γράφειν δεῖ.*

*οἱ μὲν διδάσκαλοι βούλονται τοὺς ἑαυτῶν μαθητὰς ὑψηλοὺς ἀριθμοὺς δέχεσθαι, δῆλον ὅτι, ἔνιοι δὲ τούτοις τοῖς μεθόδοις χρῶνται· ἐν δὲ τῇ Ἰωούᾳ ταὐτὸν γέγονεν.*

Alcohol banned at Berkeley frat events - Scientists resolve Tutankhamon's death mystery
(11-05-05)

Τὸ οἰνόπνευμα ἀπαγορεύουσιν ἐν τῷ τοῦ Βερκέλει πανεπιστημίῳ

Οἱ τούτου τοῦ πανεπιστημίου ἄρχοντες βεβουλεύκασι τὸ οἰνόπνευμα πινεῖν ἀπαγορεῦσαι ὁπόταν οἱ μαθηταὶ παννυχίζωσι, αἱ γὰρ ἑταιρεῖαι συχνὰ παννυχίδας ποιοῦσιν ἐν αἷς πολύν τε οἶνον πίνουσι καὶ προβλήματα γίγνεται, πολλάκις δὲ δεῖ τοὺς φύλακας ταχέως παραγενέσθαι.

τὸ μὲν τοῦ Βερκέλει πανεπιστήμιον νομίζεται πολλὰ τοῖς μαθηταῖς συγχωρεῖν, ἡ δὲ Κάρην Κέννεδυ, ἣ τοὺς μαθητὰς φυλάττει, λέγει ὅτι, τῶν μαθητῶν μεθυόντων, δεῖ τοῦτο πρόρριζον ἀποταμεῖν.

Οἱ ἐπιστήμονες διαλύουσι τὸ μυστήριον περὶ τοῦ Τουταγχάμονος

Τὸ τελευταῖον οἱ ἐπιστήμονες ηὑρήκασι τίνος ἕνεκα ὁ Τουταγχάμων ἀπέθανε· γάγγραινα ἐγένετο· τοῦ γὰρ ἀριστεροῦ σκέλους καταγέντος, ἡ γάγγραινα τὸ σῶμα διέφθειρε.

πρότερον μὲν ἔλεγον συγγραφεῖς τινες ὅτι τὸν Φαραώ, ἐννεακαίδεκα ἔτη γεγονότα, ἀποκτείναιεν οἱ ἱερεῖς, ὁρατὸν γάρ ἐστι τραῦμα ἐν τῷ κρανίῳ, νῦν δὲ δῆλόν ἐστι ὅτι ὁ τοῦ βασιλέως θάνατος οὐχ οὕτως ἐγένετο· καὶ δὴ καὶ οἱ ἐπιστήμονες εἰκόνα τοῦ προσόπου, ταῖς πανυστάταις τεχναῖς χρώμενοι, πεποιήκασιν.

## Uzbekistan army crushes revolt - F. C. Barcelona wins Championship
(14-05-05)

Τὸ τοῦ Οὐζβηκιστᾶν στράτευμα τοὺς νεωτερίζοντας πιέζει

Οἱ στρατιῶται χθὲς τοῖς ἐπὶ τὴν ἀρχὴν διαδηλουμένοις ἐπέθεντο ἐν τῷ Οὐζβηκιστᾶν, ἐν τῷ τῆς Ἀσίας μέσῳ κειμένῳ· ὁ μὲν τῶν ἐν τέλει φερέφωνος εἶπεν ὅτι δέκα ἄνθρωποι ἀποθάνοιεν, ἔνιοι δὲ ξένιοι δημοσιογράφοι οἳ ἔτυχον ἐκεῖ ὄντες πεντήκοντα λέγουσιν, διαβεβαιοῦσι δὲ οὗτοι ὅτι τριακόσιοι ἐτρώθησαν· οἱ μὲν διαδηλούμενοι συνηθροίσαντο εἰς τὰ τοῦ προέδρου Καρίμωφ βασιλεῖα ὡς πρὸς αὐτὸν ἐνστησόμενοι, οἱ δὲ στρατιῶται ἐξαίφνης ἐπὶ τὸ πλῆθος πυροβολήσαντες κατεσκέδασαν.

αὕτη δὲ ἡ χώρα ταῖς ΗΑΠ ἐπὶ τὸ Ἰρᾶκ συνεμαχέσατο ἅτε μεθορία οὖσα· καίπερ πετρελαίου τε καὶ χρύσου πολλοῦ ἐν αὐτῇ ὄντων, ἡ τῶν πολιτῶν δίαιτα κακή ἐστιν, ἡ γὰρ δικτατωρεία τὸ προχωρῆσαι κωλύει, ἤδη δὲ τετταρακαιδέκατον ἔτος ὁ δικτάτωρ Καρίμωφ τῆς χώρας ἄρχει·

Ἡ Ποδοσφαιρικὴ Κοινωνία Βαρκελῶνα ἀριστεύει (πῶς γὰρ οὔ;)

Ἡ Π.Κ. Βαρκελῶνα ἠρίστευκε τήμερον ἐν τῷ Ἱσπανικῷ ποδοσφαιρικῷ πολέμῳ· ὁ μὲν Ὀλλανδικὸς παιδοτρίβης Φρὰγκ Ῥίκχαρδ καὶ οἱ ἀγωνισταὶ ταύτης τῆς νυκτὸς πάλιν πρὸς τὴν Βαρκελῶναν ἐπανίασι, ἐν δὲ τῇ τε πόλει καὶ πάσῃ τῇ Καταλωνίᾳ οἱ πολῖται πᾶσαν τὴν νύκτα τὴν νίκην ἑορτάσουσιν· ἡ δὴ Καταλανικὴ κοινωνία ἐπαξία ἐστὶν τούτῳ τῷ ἔτει νικᾶν, κάλλιστα γὰρ ἠγώνισται.

## Grenade near Bush was live - Queen: Being in Canada like being at home
(18-05-05)

Ἡ χειροβόμβα ἐγγὺς τοῦ Βοῦιξ κειμένη δύναμιν εἶχεν

Νεωστὶ χειροβόμβα ηὑρήθη ἐγγὺς τοῦ βήματος ἐξ οὗ ὁ πρόεδρος Βοῦιξ τοῖς τῆς Γεωργίας πολίταις ἠγόρευσε· πρῶτον μὲν εἶπον οἱ τῆς Γεωργίας φύλακες ὅτι ἡ χειροβόμβα ἀργὸς ἦν καὶ ὅτι ὁ πρόεδρος οὐδαμῶς κινδυνεύσειεν, νῦν δὲ οἱ ἔμπειροι λέγουσιν ὅτι ἀνατινάσσειν ἐδυνήθη ἄν. τέλος δὲ οὐκ ἀνετιναξε μηχανικοῦ ἁμαρτήματος ἕνεκα.

μυρίων δὲ πολιτῶν εἰς τὴν ἀγορὰν, νῦν "Τῆς Ἐλευθερίας Ἀγορὰν" καλουμένην, συνελθόντων ἵνα τοῦ προέδρου Βοῦιξ ἀκουσαιεν, τρομοκράτης τις τὴν χειροβόμβαν ἐξαίφνης εἰς τὸ πλῆθος ἔρριψεν.

Ἡ Βασιλὶς "ἐν τῷ Καναδᾷ εἶναι", ἔφη, "τὸ αὐτό ἐστιν ἢ ἐπιδημεῖν"

Ἡ Βασιλὶς Ἐλισάβετ Δευτέρα ἔφρασεν ὅτι ἐν τῷ Καναδᾷ εὖ ἔχοι ὡσεὶ ἐπεδήμει ἄν· εἰς μὲν γὰρ τὸν δῆμον Σασκατζέβαν ἀφικομένη, ἡ Βασιλὶς ἐτιμήθη ὑπὸ τοῦ στρατεύματος, ὁ δὲ τοῦ Σασκατζέβαν πρόεδρος τοῖς πολίταις προσηγόρευσεν, μάλιστα τὴν Βασιλίδα ἐπαινῶν· ἔπειτα δὲ μιμνησκόμενον τῆς ἐντεύξεως ἔλασμα ἡ Βασιλὶς ἀπεκάλυψεν.

Ἡ Βασιλὶς συμβολικὴ ἄρχουσα τοῦ Καναδά ἐστιν, αὕτη γὰρ ἡ χώρα τὸ πρότερον Βρεταννικὴ ἀποικία ἦν· ὁ δὲ τοῦ Σασκατζέβαν πρόεδρος "σὺ αὐτή, ὦ Βασιλίς, ἡμῶν τις αὐτῶν εἶ ". τέλος δὲ ἡ Βασιλὶς τοῖς τοῦ Καναδὰ Ἰνδικοῖς ἐν τῷ Δευτέρῳ Παγκοσμίῳ Πολέμῳ μαχεσαμένοις καὶ τὴν Ὀλλανδίαν ἐλευθερώσασι προσηγόρευσεν.

## Tokyo governor causes diplomatic incident - "The Sun" publishes pictures of Saddam Hussein in prison

(21-05-05)

<u>Ὁ τοῦ Τοκίου ἄρχων διπλωματικοῦ προβλήματος αἴτιος γίγνεται</u>

Ὁ τοῦ Τοκίου ἄρχων ἔνευσε χθὲς παρὰ μειοτάτῃ τινὶ νήσῳ ἐν τῇ Εἰρηνικῇ Θαλάττῃ, τοῦτο δὲ τὴν Σίναν ἠνώχλησεν, ἡ γὰρ Σινικὴ ἀρχὴ λέγει ὅτι αὕτη ἡ νῆσος, καίπερ Ἰαπωνικὴ οὖσα, τῷ τῇ ἀληθείᾳ χρωμένῳ νῆσος μὲν οὐκ ἐστιν, ἕρμα δέ, οὔκουν δεῖ ἐνθάδε τὸν περὶ τῶν κρασπέδων παραθαλάσσιον νόμον χρῆσθαι· ἡ δὲ Ἰαπωνία πειρᾶται τούτον τὸν νόμον ἐκ ταύτης τῆς νήσου χρῆσθαι.

τῆς μὲν πλημμυρίδος γενομένης, ἡ νῆσος τὸ μέγεθος μείων ἐστὶν ἢ ποδοσφαιρικὸν ἡμιστάδιον, ἡ δὲ Ἰαπωνικὴ ἀρχὴ πολλά χρήματα ἀνήλωκεν ἅτε πηλὸν ἐπὶ τὸ ἔδαφος κατατιθεῖσα, ἡ γὰρ νῆσος ἐξίτηλος γένοιτο ἂν εἰ τοῦτο μὴ ποιήσαιεν, καὶ δὴ καὶ ἐν νῷ ἔχει ἐκεῖ ἐλιλιμένα τε καὶ πολιτῶν ἀποικίαν κατασκευάζειν.

<u>"Ὁ Ἥλιος" ἐκδίδωσι φωτογραφίας τινὰς τὸν Σαδδὰμ Οὑσσεῖν ἐν τῷ δεσμωτηρίῳ δηλοῦσας</u>

"Ὁ Ἥλιος" φωτογραφίας τινὰς τοῦ Σαδδὰμ Οὑσσεῖν ἐν τῷ δεσμωτηρίῳ κειμένου ἐξέδωκεν, ἡ δὲ Ἀμερικανὴ ἀρχὴ οὐκ οἶδε ὅπως τὰς φωτογραφίας οἱ δημοσιογράφοι ἐκτήσαντο· ὅμως δὲ λέγει ὁ τῆς ἐκδόσεως φερέφωνος ὅτι αὐτὰς ἐκ τῆς Ἀμερικανῆς στρατιᾶς ἐκτήσατο.

κατὰ μὲν τοῦτον τὸν φερέφωνον οὐ δεῖ περὶ τὰς φωτογραφίας πολλοῦ ποιεῖσθαι, ὁ γὰρ Σαδδὰμ μυρίους ἀνθρώπους ἀπέκτεινεν, κατὰ δὲ τοὺς Ἀμερικανοὺς τὴν τοῦ αἰχμαλώτου αἰσχύνην φυλάττειν δεῖ, καίπερ πολλῶν ὑπ' αὐτοῦ ἀποθανόντων.

## Kidnap suspect kicked out of court - Atomic bomb pioneer wins mathematics prize

(24-05-05)

<u>Φεύγων τις ἀποθέσεως ἐκ τοῦ δικαστηρίου ἐξάγεται</u>

Ψευδοιερεύς τις ὃς ἐπὶ τὸ πολὺ ἐν ταῖς ἀγυίαις εὐαγγελίζεται δίκην ἀποθέσεως φεύγει, παῖδα γὰρ νέαν ἀπέθετο, ἐν δὲ τῷ δικαστηρίῳ δικασθῆναι μέλλων ἐκ τοῦ δικαστηρίου διὰ βίας ἐξήχθη ἅτε ἐξαίφνης βοῶν τε καὶ ἀπειλητικοὺς ἐκ τῶν Βιβλίων λόγους ἐξαγορεύων· οὗτος δὲ ὁ ἄνθρωπος ἤδη πεντάκις τοῦτο ἐποίησεν.

ὁ φεύγων, Βρῖαν Δαουὶδ Μίζηλ, εξαίφνης ἐβόα "ἀναστῆθι, ὦ Ἰσραήλ· προχώρει, ὦ Βαβυλωνία· μεταμελήθητι", τὰς δὲ βοὰς ἀκούειν ἐξῆν καὶ πόρρω.

ὁ Μίζηλ, ἤδη πεντήκοντα καὶ ἓν ἔτη γεγονώς, κηρύττει ὅτι ἄγγελος Θεοῦ ἐστιν, δῆλόν ἐστι ὅτι μαίνεται, καὶ δὴ καὶ διαβεβαιοῦται ὅτι ἡ παῖς ἣν ἀπέθετο ἄκοιτις ἑαυτοῦ ἐστιν.

Ὁδοποιός τις τῆς ἀτομικῆς βόμβης μαθηματικὸν ἆθλον κτᾶται

Ὁ Πέτρος Λᾶξ, κεκτημένος τὸ μέγιστον τοῦ κόσμου μαθηματικὸν ἆθλον, τῇ ἐννοίᾳ "Μαγχάτταν" καλουμένην ἠργάσατο, τότε ἐννεακαίδεκα ἔτη γεγονώς· ταύτῃ δὴ τῇ ἐννοίᾳ ἡ πρώτη ἀτομικὴ βόμβα ἐπλάσθη· τὸ ἆθλον, "Ἀβὴλ" καλούμενον, ἐν τῇ πόλει Ὄσλῳ τῆς Νορβεγίας ἐδόθη.

οὗτος ὁ μαθηματικὸς ἐπιστήμων τοῖς δημοσιογράφοις ἐρωτῶσι πότερον δεήσειε τὰς ἀτομικὰς βόμβας ἐπὶ τὴν Ἰαπωνίαν ἀποβαλεῖν ἢ οὔ, ἀπεκρίνατο ὅτι δεήσειε μὲν αὐταῖς χρῆσθαι, εἰ δὲ μὴ ἔχρησαν, ἔτι πλείονες ἀπέθανον ἄν.

## Chirac exhorts French citizens to vote for European Constitution - Terrorist attack against mosque in Pakistan

(27-05-05)

Ὁ Σιρᾶκ τοὺς Γάλλους πολίτας ἐποτρύνει ἵνα ὑπὲρ τῆς Εὐρωπαϊκῆς πολιτείας ψηφίσωσιν

Τῶν τελευταιῶν ἐξητάσεων τοὺς Γαλλοὺς πολίτας κατὰ τῆς Εὐρωπαϊκῆς πολιτείας ψηφίσειν μέλλοντας δεικνύντων, ὁ πρόεδρος Ἰάκωβος Σιρᾶκ τοὺς πολίτας νῦν ὡς δυνατώτατα ἐποτρίνει ἵνα μὴ κατ' αὐτῆς ἀλλ' ὑπὲρ αὐτῆς ψηφίσωσιν.

τάδε δὲ λέγει ὁ πρόεδρος περὶ τούτου· ὅτι ἥ τε τῆς Γαλλίας τύχη καὶ ἡ μοῖρα ἐν γούνασι αὐτῶν κεῖται καὶ ἡ Εὐρωπαϊκὴ πολιτεῖα ἀπόκρισις τῆς Γαλλίας ἐστι ταῖς τοῦ κόσμου μεταβολαῖς.

τὸ δὴ πρᾶγμα γελοῖόν ἐστιν, ἡ γὰρ Γαλλία πρῶτός τε τῆς πολιτείας εἰσηγητής καὶ κυριωτάτη συντάττουσα ἐγένετο τὴν ἀρχήν.

Τρομοκρατικὴ προσβολὴ ἐπὶ μουσουλμανικὸν ναὸν ἐν τῷ Πακιστᾶν

Ὀκτωκαίδεκα ἄνθρωποι ἀπέθανον καὶ τετταράκοντα ἐτρώθησαν διὰ τρομοκρατικὴν προσβολὴν ἐπὶ μουσουλμανικὸν ναὸν ἐν τῷ Πακιστᾶν τήμερον· αὕτη δὲ ἡ προσβολὴ ἑκκαιδεκάτη ἐστι τῶν πέντε τελευταίων ἐτῶν· τῆς μὲν Παρασκευῆς ἁγίας ἡμέρας τοῖς μουσουλμανικοῖς οὔσης, μέγα πλῆθος παρῆν ἐν τῷ ναῷ, ἐν τῷ προαστείῳ τῆς Ἰσλαμαβᾶδ κειμένῳ, διὰ δὲ ταῦτα τοσοῦτοι ἄνθρωποι ἀπέθανον καὶ ἐτρώθησαν.

ἡ δὲ τοῦ πρωθυπουργοῦ οἰκία ἐγγὺς κεῖται τοῦ τόπου οὗ ὁ ἀνατιναγμὸς ἐγένετο· ὁ μὲν ναὸς τοῖς σιίταις προσκεῖται, οἱ δὲ σιῖται τῶν πέντε ἡ μία μοῖρα εἰσὶν τῶν πολιτῶν, οἱ δὲ ἄλλοι πολῖται σουνῖται εἰσίν.

## Aviator Lindberg had 7 secret children - Olympian Holmes considered suicide

(30-05-05)

Τῷ ἀεροναύτῃ Λίνδβεργ ἑπτὰ παιδία ἦν

Ὁ Κάρολος Λίνδβεργ πρῶτος τὸν Ἀτλαντικὸν Ὠκεανὸν τριάκοντα καὶ τριῶν ὁρῶν ἐκ τῆς Παρίδος εἰς τὴν Νέαν Ὑόρκην διέπτετο, διὰ δὲ ταῦτα ἐπίδοξος ἐγένετο· νῦν δὲ διαβεβαιοῦται συγγραφεύς τις ὅτι οὗτος ὁ ἀεροναύτης τρεῖς μὲν ἀπορρήτους ἑταίρας ἐν τῇ Γερμανίᾳ σχοῖ, ἐκ δ' αὐτῶν ἑπτὰ παιδία γένοιτο· λέγει δὲ καὶ ὁ συγγραφεὺς ἐν τῇ ἄρτι ἐκδοθείσῃ βίβλῳ ὅτι ὁ Λίνδβεργ ἐνίοτε αὐτοῖς προσῄει· ἐν δὴ ταύτῃ τῇ βίβλῳ ἔξεστι ἐπιστολάς τινας ὑπὸ τοῦ ἀεροναύτου τοῖς τε υἱοῖς καὶ ταῖς γυναιξὶ γραφεῖσας ἀναγιγνώσκειν, καὶ

δὴ καὶ ἐν τῇ ὑστάτῃ ἐπιστολῇ αἰτεῖ τὸ ἀπόρρητον μὴ ἐκκαλύπτειν.

ὁ συγγραφεὺς ταύτην τὴν βίβλον τοῖς τοῦ Λίνδβεργ υἱοις ὠφελοῦσι συγγέγραφεν, οὗτοι γὰρ ταὐτὸν διαβεβαιοῦνται.

Ἡ Ὀλυμπικὴ ἀθλητρὶς Ὅλμες ἐν νῷ εἶχεν ἑαυτὴν ἀποκτεῖναι

Ἡ Κέρρυ Ὅλμες, ἤδη τριάκοντα καὶ τέσσαρα ἔτη γεγονυῖα, ἡ Βρεταννικὴ γυνὴ ἣ δὶς Ὀλύμπια ἐνίκησεν, λέγει νῦν ὅτι ψυχολογικὴν ἔκλυσιν παθοῦσα ἤδη τὸ τέταρτον ἔτος ἐν νῷ εἶχεν ἑαυτὴν ἀποκτεῖναι· ἐν γὰρ τῇ Γαλλίᾳ οὖσα, οὐχ οἵα τ᾽ ἦν εὖ ἀσκεῖν ἅτε βλαβᾶς ἐν τοῖς σκέλεσι τότε πάσχουσα· ἡ μὲν ὡς ἰατρόν τινα προσῆλθεν, ὁ δὲ αυτῇ ὅ τι πάσχοι ἐρωτώσῃ ἀπεκρίνατο ὅτι ψυχολογικὴν ἔκλυσιν, ὅμως δὲ ἡ Ὅλμες φάρμακα οὐκ ἔφαγεν.

τοῦ δὲ ἐπιγιγνομένου μηνὸς ἐκδώσει ἡ ἀθλητρὶς αὐτοβιογραφικὴν βίβλον "Μέλαν καὶ Λεῦκον καὶ Χρυσοῦν" τῷ ἐπιγραφῇ.

## Israel frees 400 Palestinians to reinforce Abu Mazen - The Holy Family Temple will hold ceremonies in three years

(03-06-05)

Οἱ Ἰσραηλῖται τετρακοσίους αἰχμαλώτους ἐλευθεροῦσιν ἵνα τὸν Ἅβου Μάθην ἰσχυρὸν ποιῶσιν

Κατὰ τὴν συναλλαγὴν ἣν ὁ Ἰσραηλινὸς πρωθυπουργὸς Ἀριὴλ Σιαρὼν καὶ ὁ Παλαιστίνος πρόεδρος Ἅβου Μάθην ἐποιήσαντο, ἡ Ἰσραηλινὴ ἀρχὴ ἐλευθέρωσε χθὲς τετρακοσίους Παλαιστίνους αἰχμαλώτους, τοὺς πόλλους αὐτῶν τῇ Ἅλ Φατὰ στάσει ἐπικουροῦντας· ἡ δὲ Ἰσραηλινὴ ἀρχὴ οὕτως πράττει ἵνα τὴν τοῦ Παλαιστίνου προέδρου ἀρχὴν βεβαιότεραν ποιῇ, ἐν μὲν γὰρ τῇ Παλαιστίνῃ τῷ Ἰουλίῳ μηνὶ ἀρχαιρεσίαι γενήσονται, οἱ δὲ Ἰσραηλῖται τῷ Ἅβου Μάθην ἐπὶ τῇ βιαίῳ στάσει Ἅμας συμμάχεσθαι βούλονται.

ὅμως δὲ πολλοὶ μὲν Ἰσραηλινοὶ πολῖται μέμφονται ὅτι οἱ ἄρτι ἐλευθερωθέντες αἰχμάλωτοι αὖθις τρομοκρατικὰς προσβολάς ποιήσουσιν, οἱ δὲ ἐν τέλει βούλονται τὸν Α. Μάθην τῷ Ἰουλίῳ ἐν ταῖς ἀρχαιρεσίαις νικᾶν μᾶλλον ἢ τὴν στᾶσιν Ἅμας, ὁ γὰρ Α. Μάθην μέτριός ἐστιν.

Ἐν τῷ τῆς Ἁγίας Οἰκογενείας νεῷ ἱερὰ ποιήσουσι τριῶν ἐτῶν

Τὸν μὲν τῆς Ἁγίας Οἰκογενείας νεών, μέγιστόν τε ἔργον τοῦ Καταλανικοῦ ἀρχιτέκτονος Ἀντωνίου Γαυδὶ καὶ ἐνδοξότατον τῆς πόλεως Βαρκελώνης σύμβολον, οὐκέτι παντελῶς ἀποτετελέκασιν, πολλοῦ γὰρ δεῖ, ὅμως δὲ λέγουσιν οἱ ἀρχιτέκτοι ὅτι τριῶν ἐτῶν ὁ μέσος νεὼς (τρεῖς γὰρ νεῴ ἐνέσονται) οὕτως ᾠκοδομημένος ἔσται ὥστε ἱερὰ ἐντὸς ποιεῖν ἔξεσται.

ὁ μὲν Γαυδὶ ὑπερμεγέθη νεὼν ἐμηχανήσατο, μόνον δὲ μικροῦ μέρους αὐτοῦ οἰκοδομηθέντος οὗτος ὁ ἀρχιτέκτος κακῇ τινι συμφορᾷ ἀπέθανεν, πολλοῦ δὲ ἀργυρίου δέοντος ἡ οἰκοδομία βραδέως προκόπτει.

## 25 die in Nepal in bomb explosion - Summer course all of it in Latin in France

(06-06-05)

Εἴκοσι καὶ πέντε ἄνθρωποι ἀποθνήσκουσι δι᾽ βόμβης ἀνατιναγμόν

Εἴκοσι καὶ πέντε ἄνθρωποι ἀπέθανον ἐν τῷ Νεπὰλ βόμβης ὑπὸ μαοιστῶν τρομοκρατῶν τεθείσης ἀνατινασσούσης· δημοσίας γὰρ ἁμάξης ἐγγὺς παριούσης, ἡ βόμβα ἐξαίφνης ἀνετίναξεν· οἱ δὲ ἐν τέλει ἑπτὰ ἀσθενουχήματα καὶ ἓν ἑλικόπτερον πρὸς τὸν τῆς συμφορᾶς τόπον, πόρρω τοῦ Κατμανδοῦ κείμενον, πεπόμφασιν, ἵνα τοὺς τραυματίας μεταφέρωσιν.

ἤδη δὲ δέκατον ἔτος οἵ τε μαοΐσται καὶ ὁ βασιλεὺς μάχονται, οἱ μὲν τὴν ἀρχὴν κτᾶσθαι πειρώμενοι, ὁ δὲ κατέχειν.

<u>Θερινὴ παιδεία πᾶσα Ῥωμαϊστὶ ποιηθησομένη ἐν τῇ Γαλλίᾳ</u>

Τὸ τοῦ Ἁγίου Μιχαὴλ τοῦ Φριγολὴτ κοινόβιον, ἐν τῇ Γαλλίᾳ κείμενον, τῷ Ἰουλίῳ παιδείαν μίαν ἑβδομάδα διαμένουσαν ποιήσει· ἐν δὲ ταύτῃ τῇ παιδείᾳ μόνον τῇ τοῦ Λατίου γλώττῃ χρήσονται, εἰ καὶ δεῖ ὕδωρ αἰτεῖν· οἱ διδάσκαλοι βούλονται τῇ τῶν Ῥωμαίων γλώττῃ χρῆσθαι ὡς δημοτικῇ γλώττῃ οὔσῃ.

αὗται μὲν αἱ παιδεῖαι τὸ πάλαι ἐν τῇ Αὐστρίᾳ ἤρξαντο, μόνον δὲ τὴν τῶν Ῥωμαίων γλῶτταν ἐπιτηδεύουσιν, οὐ μέντοι τὴν Ἑλληνικήν, δεῖ οὖν τὸ αὐτὸ ἑλληνιστὶ ποιεῖν· ὅμως δὲ ὁ Γερμανικὸς διδάσκαλος Ἥλμουτ Κουὰκ ἐν τῇ Ἑλλάδι μόνος τοῦτο ἑλληνιστὶ ἤδη ποιεῖ.

## Foundation "Open Catalonia" requests monument to Churchill in Barcelona - 4 skeletons found in Moscow flat

(10-06-05)

<u>Ὁ ὀργανισμὸς "'Ἀνεῳγυῖα Καταλωνία" μνῆμα τοῦ Σιοῦρσιλ ἐν τῇ Βαρκελώνῃ αἰτεῖ</u>

Ἔνιοι ἑταῖροι τοῦ ὀργανισμοῦ Ἀνεῳγυίας Καταλωνίας ᾔτησαν τοὺς τῆς Βαρκελώνης ἄρχοντας μνημεῖον τοῦ Σιοῦρσιλ κατασταθῆναι, αὐτὸν γὰρ τούτου ἀξιοῦσι διὰ τὴν ὑπὲρ τῆς δημοκρατίας καὶ ἐπὶ τὰς δικτατωρείας σπουδήν· ὁ δὲ Σιοῦρσιλ, τοῦ Λόνδονος ὑπὸ τῶν Γερμανῶν ἐκ τοῦ ἀέρος ἐπιτιθεμένου, περὶ τοῦ πολέμου ἀγορεύων τὴν Βαρκελώνην παράδειγμα παρέσχε πόλιν ἧς οἱ πολῖται ταῖς πολεμίαις ἐκ τοῦ ἀέρος ἐπιθέσεσι ἀνθίσταντο.

ὅμως δὲ οὐδεὶς οἶδε διὰ τί τὸ μὲν νῦν τοῦτο αἰτοῦσιν, οὐ μέντοι τὸ πρότερον· ἴσως δὲ ἡ τοῦ Σιοῦρσιλ δόξα πάλιν γίγνεται;

<u>Τέτταρα σώματα εὑρίσκουσιν ἐν Μοσκοβικῇ οἰκίᾳ</u>

Οἱ Ῥουσσικοὶ φύλακες, εἰς οἰκίαν τινὰ χθὲς εἰσελθόντες, τέτταρα σώματα ηὗρον· τῶν γὰρ ἐνοικούντων τὸν μισθὸν ἐκ μακροῦ χρόνου οὐ τελούντων, ἔδοξε τοῖς φύλαξι εἰσελθεῖν· τὸ δὲ σπανιώτατον τόδε ἐστίν· οἱ τέτταρες ἄνθρωποι οὐ μὲν ἅμα ἀπέθανον, χωρὶς δὲ κατὰ τὸν χρόνον· ὧδε δὲ ἀπέθανον·

α'- ὁ πάππος ἤδη τὸ πέμπτον ἔτος τέθνηκεν·
β'- ἡ ἄκοιτις αὐτοῦ ἤδη τρίτον ἔτος·
γ'- ἥ τη θυγάτηρ καὶ ἡ θυγατριδῆ ἤδη δεύτερον ἔτος.

λέγουσιν δὲ οἱ γείτονες ὅτι ἐκεῖνοι σπανιώτατοι ἦσαν, καὶ δὴ καὶ ἐνόμισαν αὐτοὺς ἀποικεῖν· οἱ δὲ φύλακες οὐδὲν εἰρήκασι περὶ τῆς τοῦ θανάτου αἰτίας, οὐδεὶς οἶδε ὅπως ἀπέθανον.

## "Mississippi Burning" trial to start - French journalist kidnapped in Irak, freed
(13-06-05)

Ἡ περὶ "τοῦ ἁπτομένου Μισσισσίππι" δίκης ἄρχεσθαι μέλλει

Τὸ πάλαι ἄνθρωποι τρεῖς πρὸς τὸ Μισσισσίππι προσῆξαν ὡς τοὺς μέλανας ψηφοφόρους ἐγγράψοντες, ἔνιοι δὲ τῆς ΚΚΚ συστάσεως αὐτοῖς σπόμενοι ἀπέκτειναν τε καὶ ἔθαψαν· ἔπειτα δέ, τῶν φυλάκων τοὺς νεκροὺς εὑρόντων, ἔνιοι τῶν δολοφόνων καταδικασθέντες εἰς τὸ δεσμωτήριον ἐνεβλήθησαν.

νῦν δὲ λέγεται μὲν ὅτι ἀνήρ τις,"Εδγαρ Κίλληρ ὀνόματι, τὴν ἐπίθεσιν κατεσκευάσετο, ὁ δὲ Κίλληρ, νῦν ἤδη ὀγδοήκοντα ἔτη γεγονώς, διαβεβαιοῦται ὅτι ἀναίτιός ἐστιν.

ταύτης τῆς συμφορᾶς γενομένης, τὸ κινηματογραφικὸν ἔργον "Τὸ Μισσισσίππι ἅπτεται" ὁ Ἄλαν Πάρκηρ ἐποίησεν, ἐν νῷ ἔχων τὰς ἐπὶ τοὺς μέλανας ἀνθρώπους ἐπιθέσεις ἐπιδεῖξαι.

Ἡ Γάλλη δημοσιογράφος ἐν τῷ Ἰρᾶκ ἀποτεθεῖσα ἐλευθεροῦται

Ἡ Γάλλη δημοσιογράφος Φλορένση Αὐβένας, τετταράκοντα καὶ τέτταρα ἔτη γεγονυῖα, πέντε μηνὰς ἐν τῷ Ἰρᾶκ ἀποτεθειμένη, ἀφίκετο χθὲς εἰς τὴν Παρῖς· οἱ δὲ Γάλλοι ἄρχοντες λέγουσιν μὲν ὅτι οὐδὲν τοῖς ἐπιτιθεῖσιν ἔτεισαν, οὐ μέντοι ἐξηγήσαντο ὅπως αὐτὴν ἐλευθηρώσαιεν.

τῷ Ἰανουαρίῳ μηνὶ ἥ τε δημοσιογράφος καὶ ὁ ἑαυτῆς ἑρμηνεὺς ἀπετήθησαν ἐκ τοῦ καταγωγίου ἀπελθόντες.

ἐν δὲ τῷ Ἰρᾶκ γεγόνασιν αἱ τῶν ξένων δημοσιογράφων ἀποθέσεις συχναί· ὅμως δὲ οὗτοι οἱ τὴν Φ. Αὐβένας ἀποτιθέντες μόνον μὲν χρήματα ᾔτουν, οὐδὲν μέντοι πολιτικὸν κτᾶσθαι ἐν νῷ εἶχον· ἆρα κέκτηνται τὰ χρήματα; ὁ δὴ Ἰάκοβος Σιρᾶκ τοῦτο οἶδεν, δῆλον ὅτι.

## EU countries don't reach agreement - Father convicted of murdering 9 of his children
(18-06-05)

Αἱ τῆς Εὐρωπαΐας Ἑνώσεως χῶραι οὐχ ὁμολογοῦσιν

Αἱ τῆς Εὐρωπαΐας Ἑνώσεως χῶραι περὶ τῶν χρημάτων ὧν δεῖ ἑκάστην καταβαλεῖν οὐχ ὡμολόγησαν, μάλιστα δὲ ἥ τε Βρεταννία καὶ ἡ Ὀλανδία καὶ ἡ Γαλλία τῶν διαφοροῶν δίκην διδόναι οὐκ ἐθέλουσιν· τὸ δὲ πρόβλημα τῷ ὄντι τόδε ἐστίν, ὁπόσον τοῦ καταβληθέντος ἀργυρίου εἰς τὴν καταβαλούσης χώρας ἐπανελθεῖν δεῖ.

νέων δὲ χωρῶν εἰς τὴν Εὐρωπαΐαν Ἕνωσιν εἰσελθουσῶν, ἀσθηνῆ οἰκονομίαν ἐχουσῶν, πολλοὶ τῶν ἄλλων χωρῶν πολῖται λέγουσιν ὅτι αὗται αἱ χῶραι δέχονται μὲν χρήματα, οὐ μέντοι καταβάλλουσιν, οὐδὲν γὰρ ἔχουσιν.

Πατήρ τις καταδικάζεται ὡς ἐννέα τῶν ἑαυτοῦ υἱέων ἀποκτείνας

Ὁ Μάρκος Οὐήσσων, ὃς ἐν τῷ Φρέσνῳ (ἐν τῇ Καλιφωρνίᾳ) οἰκεῖ, ἐννέα τῶν ἑαυτοῦ υἱέων ἀπέκτεινεν. οὗτος δὲ ὁ ἄνθρωπος πολύγαμος ἦν, διὰ δὲ ταῦτα πολλοὶ αὐτῷ υἷοι εἰσίν· ὁ μὲν ἀνὴρ δολοφόνος ἐστί, ὅμως δὲ ἔνιοι τῶν περιόντων υἱέων ἔτι καὶ νῦν τῷ πατρὶ ἐπικουροῦσιν, τὴν γὰν τοῦ δικαστοῦ κρίσιν ἀκούσαντες ἐν τῷ δικαστηρίῳ αὐτῷ ἐδάκρυον.

ὁ δὲ ἀντίδικος εἶπεν ὅτι τῷ ὄντι ὁ πρεσβυγενὴς υἷος πρῶτον μὲν τοὺς ἄλλους ἀδελφοὺς ἀπέκτεινεν, ἔπειτα δὲ ἑαυτόν.

ἴσως δὲ ὁ Μ. Οὐήσσων θάνατον καταδικασθήσεται, ἀλλὰ δεῖ νῦν τὸν δικαστὴν τοῦτο διαγιγνώσκειν.

### Archaeological Museum in Athens reopens Santorini rooms - Islamic deputies shout against first woman minister in Kuwait

(21-06-05)

Τὸ ἐν ταῖς Ἀθήναις Ἀρχαιολογικὸν Μουσεῖον πάλιν τὰ περὶ τῆς Θήρας οἰκήματα ἀνοίγνυσιν

Τὸ ἐν ταῖς Ἀθήναις Ἀρχαιολογικὸν Μουσεῖον πάλιν μέρος τι ἀνέῳξε ἀποδεικνὺν χαλκεῖά τε καὶ ζωγραφήματα καὶ ἀμφιφορέας· πάντα δὲ ταῦτα ἐν τῇ Ἀκροτιρίδι ηὑρέθη, ἐν τῇ Θήρᾳ νήσῳ· δέον δὲ τὸ οἴκημα ἀνασκευάζειν, τοῦτο τὸ τοῦ μουσείου μέρος ἐκέκλειτο, σεισμὸς γάρ τις τὸ οἴκημα ἔβλαψεν.

τὸ δὲ ἀξιολογώτατον ἐν τούτῳ τῷ μέρει χρῆμα Ἡ τοῦ Καλυμνοῦ γυνή, χαλκεῖον γυναικεῖον ἄγαλμα ἐκ τοῦ Ἑλληνιστικοῦ χρόνου, ἐστίν· τοῦτο δὲ τὸ ἄγαλμα ὑπὸ ἁλιέως τινὸς ἐπὶ τῷ τῆς θαλάττης βάθει κείμενον ηὑρέθη.

Οἱ ἰσλαμικοὶ βουλευταὶ τῆς πρώτης γυναικὸς ὑπουργοῦ ἐν τῷ Κουαῖτ γενομένης καταβοῶσιν

Ἡ Μασοῦμα Ἄλ Μουβᾶρακ, πρώτη γυνὴ ὑπουργὸς ἐν τῷ Κουαῖτ γενομένη, ὤμοσε χθὲς κατὰ τοὺς νόμους ἐν τῇ βουλῇ, τῶν μουσουλμανικῶν βουλευτῶν αὐτῇ ἀνθισταμένων ὡς γυναικὶ οὔσῃ· ἄρτι μὲν ἡ τοῦ Κουαῖτ βουλὴ ἐβουλεύσατο πότερον ταῖς γυναιξὶ ψηφίζεσθαι δεῖ ἢ οὔκ, τέλος δέ, τῆς βουλῆς οὕτως βουλευσαμένης, ἔξεστι αὐταῖς ψηφίζεσθαι.

οἱ δὲ ἰσλαμικοὶ λέγουσι ὅτι δεῖ τὴν γυναῖκα οἴκοι μὲν μένειν, οὐ μέντοι ὡς ἄνδρα ἐργάζεσθαι· ἐν ταῖς μὲν περὶ τὸν Περσικὸν Κόλπον χώραις τὰ τῆς γυναικὸς δίκαια ἐπὶ τὸ βέλτιον κεχωρήκασιν, οὐ μέντοι ἐν τῇ Σαυδικῇ Ἀραβίᾳ, ἐν γὰρ ταύτῃ τῇ χώρᾳ ταῖς γυναιξῖν οὐχ ὅπως ψηφίζεσθαι ἔξεστιν ἀλλὰ οὐδὲ μόναις μὴ ἀκολουθουμέναις πορεύεσθαι.

### Future of Bulgaria, in the ballot boxes - Morocco crashes down revolt in Sahara

(24-06-05)

Τὸ τῆς Βουλγαρίας μέλλον ἐν τοῖς κάδοις κεῖται

Τὸ αὔριον ἀρχαιρεσίαι γενήσονται ἐν τῇ Βουλγαρίᾳ, τοῖς δὲ ταύτης τῆς χώρας πολίταις μέλει τίς νικήσει, βούλονται γὰρ εἰς τὴν Εὐρωπαῖαν Ἕνωσιν εἰσβαίνειν, ὅπως δὲ εἰς τὴν Ευρωπαϊκὴν ναῦν εἰσβῆναι δυνῶνται δεῖ τὴν νέαν ἀρχὴν ἰσχυρὰν εἶναι, ἀσθηνους γὰρ τῆς ἀρχῆς οὔσης τὰ οἰκονομικὰ οὐχ ἱκανῶς αὐξήσει· καίπερ δὲ τῆς οἰκονομίας αὐξανούσης, ἡ ἐν τῇ Βουλγαρίᾳ δίαιτα ταπεινοτάτη ἐστίν, δεῖ οὖν αὐτὴν ἐπὶ τὸ βέλτιον τρέπειν.

περὶ δὲ τοῦ παρεληλυθότος χρόνου λέγουσι οἱ πολῖται ὅτι ἡ τοῦ Σιμεόνος τοῦ Δευτέρου ἀρχὴ βελτίστη τῶν ἀρχῶν ἐγένετο ἐξ οὗ ἡ κομμουνιστικὴ ἀρχὴ ἐτελεύτησεν, καὶ εἰ οὗτος ὁ πρότερον βασιλεὺς πολλάς ὑποσχήσεις οὐκ ἐξεπλήρωσεν.

Τὸ Μορόκκο τὴν ἐν τῇ Σαχάρᾳ ἐπανάστασιν πιέζει

Στάσεως ὑπὲρ τῆς ἐν τῇ Σαχάρᾳ αὐτονομίας γενομένης, τῇ τοῦ Μαρόκο ἀρχῇ ἔδοξε τραχέως περὶ τούτου πράττειν· ἔνιοι μὲν πολῖται ὑβρίσθησάν τε καὶ καθείρχθησαν, ἔνιοι δὲ καὶ ἠφανίσθησαν· ξενικοὶ δέ τινες ὀργανισμοί, ταῦτα ἀκούσαντες, ἤδη εἰς τὸ Μαρόκο ἐληλύθασιν ἵνα ἐν τῷ τόπῳ αὐτῷ ἐξητάσωσιν.

οἱ ἐν τῇ Σαχάρᾳ οἰκούμενοι αὐτόνομοι γενέσθαι βούλονται, τοῦτο δὲ οἱ ἐν τέλει ἀεὶ βίᾳ κωλύουσιν ὁπόταν στάσις γίγνηται.

## New Iran president promises moderation - 90 students abducted in Nepal

(27-06-05)

Ὁ νέος τοῦ Ἰρᾶν πρόεδρος ὑπισχνεῖται μέτριος ἔσεσθαι

Ὁ ἀρχαικὸς Ἀχμαδινεχὰδ πρόεδρος τοῦ Ἰρᾶν χθὲς ᾑρέθη, τοῖς δὲ δημοσιογράφοις τὸ πρῶτον αὐτὸν ἐρωτῶσιν εἶπεν ὅτι τὸ μὲν ἀτομικὸν πρόγραμμα διατελήσοι, διαλέγεσθαι δὲ προτείνοι· ὁ δὲ νέος πρόεδρος, βουλόμενος τὰς συμμαχίας ταῖς ἄλλαις Ἀραβικαῖς χώραις κρατύνειν, οὐ μὲν ἔψεσε τὰς Ἡνωμένας Ἀμερικῆς Πολιτείας, εἶπε δὲ ὅτι οὐ δέοι τῷ ὄντι αὐταῖς συνθήκας συντίθεσθαι ἵνα τὸ Ἰρᾶν προχωρήσειεν.

ἔνιοι Ἀραβικοὶ δημοσιογράφοι φοβοῦνται μὴ πάλιν ἐξαγωγὴ τοῦ ἰσλαμικοῦ νεωτερισμοῦ γένηται ὡς ἐπὶ τοῦ Χωμεῖνι ἄρχοντος.

Ἐνενήκοντα μαθηταὶ ἀποτίθενται ἐν τῷ Νεπάλ

Οἱ ἐν τέλει τοῦ Νεπὰλ λέγουσιν ὅτι οἱ στασιῶται ἐνενήκοντα μαθητὰς ἐκ διδασκαλείου τινὸς ἐξέθεντο, δοκεῖ δὲ ὅτι οἱ μαθηταὶ πρὸς κώμην τινὰ τριακοσία χιλιομέτρα τοῦ Κατμανδοῦ ἀπέχουσαν ἠνέχθησαν. οὐδεὶς οἶδε ὅπως οἱ δεσμῶται ὑγιαίνουσιν, ἅτε φρουρίων ἐκεῖ ἐγγὺς ταύτης τῆς κώμης οὐκ ὄντων. οὐ δὴ τὸ πρῶτον οἱ μαωίσται στασιῶται μαθητὰς ἀποτίθενται, πολλάκις γὰρ τοῦτο ποιοῦσιν, λέγουσι δὲ ὅτι αὐτοὺς ἀποθέμενοι πολιτικῶς παιδεύουσιν καὶ τὴν ὀρθὴν ὁδὸν δεικνύασιν.

(θαυμάζω τίς βούλεταί μοι τὴν ὀρθὴν ὁδὸν δεικνύναι...)

## First text in History was a curse - Israeli government forbids its citizens to enter Gaza

(30-06-05)

Οἱ πρῶτοι ἐν τῇ Ἱστορίᾳ λόγοι κατάρα ἦσαν

Ἡ ἀρχαιοτάτη ἐπιγραφὴ κατάρα ἐστί, κατὰ τὸν Ῥεῖχαρδ Λῆμαν, ὅς διδάσκαλός ἐστιν ἐν τῷ Πανεπιστημίῳ Ἰωάννης Γούτεμβεργ· αὕτη δὲ ἡ ἐπιγραφὴ κεῖται ἐπὶ τοῦ τάφου ἐν ᾧ ὁ βασιλεὺς Ἀχιράμ εἰσαεὶ καθεύδει, τῇ τῶν Φοινίκων γλώττᾳ γεγραμμένη· ἐκ δὲ τούτων τῶν γραμμάτων ἐγένοντο τὰ Ἑλληνικὰ γράμματα καὶ τὰ Ῥωμαϊκὰ καὶ τὰ Ἑβραϊκά.

ἡ δὲ ἐπιγραφὴ λέγει· "πλανάτω ἄνευ ὕδατος ὅστις ἂν εἰς τοῦτον τὸν τάφον ἀσεβήσῃ"· τί δὲ τοῦτο δύναται; τόδε δύναται· ὁ ἀσεβῶν ὕδωρ ἐν τ̣ῷ ἑαυτοῦ τάφῳ οὐ δέξεται καὶ αὐτὸν τεθνηκότα δεήσει παρὰ τοῖς βιοῦσιν πλανᾶν.

ὁ μὲν σαρκοφάγος ἐπὶ τεττάρων λεόντων κεῖται, ἐνδοξότατος δέ ἐστιν τῆς τῶν Φοινίκων ἱστορίας.

Ἡ Ἰσραηλινὴ ἀρχὴ κωλύει τοὺς πολῖτας εἰς τὴν Γάζαν εἰσελθεῖν

Μυρίους Ἰσραηλινοὺς ἀποίκους δεήσει τὰς ἐν τῇ Γάζῃ ἀποικίας καταλιπεῖν καὶ πρὸς τὸ Ἰσραὴλ ἐπανελθεῖν, ἡ γὰρ Ἰσραηλινὴ ἀρχὴ καὶ ἡ Παλαιστινὴ ἀρχὴ συνθήκας ἐποιήσαντο περὶ τούτου· ὅμως δὲ πολλοὶ ἄποικοι ἐξελθεῖν οὐκ ἐθέλουσιν, λέγουσι γὰρ ὅτι ἐκεῖ ἤδη τριάκοντα ἔτη ᾠκήκασιν· τὸ δὲ Ἰσραὴν ταύτην τὴν χώραν τῷ πολέμῳ "ὁ τῶν ἓξ ἡμερῶν πόλεμος" καλουμένῳ κατέλαβεν.

οἱ δὲ Ἰσραηλινοὶ ὑπερέσχατοι μάχονται μὲν νῦν πρὸς τοὺς Ἰσραηλινοὺς φύλακας, διαβεβαιοῦνται δὲ ὅτι ἐπειδὰν οἱ φύλακες ἔκωσιν ἵνα σφᾶς ἐκβαλῶσι τοῖς ὅπλοις χρήσονται· ἡ δὲ ἀρχὴ κωλύειν βούλεται τοὺς ἄλλους πολίτας τοῖς ἀποίκοις βοηθεῖν.

## Kansas High Court may close schools - New Da Vinci drawing uncovered

(03-07-05)

Οἱ τοῦ Κᾶνσας δικασταὶ τὰ διδασκαλεῖα κλείσαιεν ἄν

Τὰ διδασκαλεῖα οὐκέτι μαθητὰς δέχεται, τοῖς γὰρ μαθηταῖς οὐ χρῆ ἐπανελθεῖν πρὶν ἢ τὸ θέρος τελευτᾷ ἄν· ὅμως δὲ οἱ τοῦ Κᾶνσας δικασταὶ ἴσως γνώσονται τὰ διδασκαλεῖα κεκλεισμένα μένειν ἐὰν τὰ χρήματα οὐ δέχηται.

ὁ κυριώτατος κριτὴς λέγει ὅτι τὸ νῦν ὡς δυνατώτατα ἐργάζονται ἵνα τὰ χρήματα εὑρῶσι καὶ ὅτι οὐ δεῖ πολλοῦ ποιεῖσθαι· ὅμως δὲ οἱ πατέρες καὶ αἱ μητέρες θαυμάζουσι τί δεῖ ποιεῖν εἰ τοῦ Αὐγούστου μηνὸς τελευτῶντος τὰ χρήματα οὐ δέχηται.

Νέον τοῦ Δὰ Βίνζι ζωγράφημα ἐξευρίσκουσιν

Ὁ Δὰ Βίνζι δὶς τὸ ζωγράφημα " Ἡ ἐπὶ τῶν πετρῶν Παρθένος" καλούμενον ἔγραψεν· τὸ μὲν ἕτερον ζωγράφημα ἐν τῷ Παρίδι ἐστίν, ὁ δὲ ἕτερον ἐν τῷ Λόνδονι· οἱ δὲ ἐν τῷ Λόνδονι τεχνικοὶ ἐξετασταί, τὸ ζωγράφημα διασκοποῦντες, ηὗρον ἄλλο ζωγράφημα ὑπὸ τοῦ πρώτου κείμενον.

ἡ τοῦ Μεδιολάνου ἑταιρεία τὸν Δὰ Βίνζι ἐκέλευσε ζωράφημα γραφεῖν, ὁ δὲ τὴν Παρθένον ἔγραψεν ἐν σπηλαίῳ σὺν τῷ Χριστῷ καὶ τῷ Ἁγίῳ Ἰωάννῃ οὖσαν· τοῦ δὲ ζωγραφήματος γραφέντος, ὁ Δὰ Βίνζι πολλά χρήματα ᾔτησεν, οἱ δὲ τῆς ἑταιρείας οὐκ ἔδοσαν, ὁ δὲ ζωγραφεὺς ἄλλοθι ἐπώλησεν· τέλος δὲ εἰς τὸ Παρὶς αὐτὸ ἤνεγκον.

πέντε μὲν ετῶν διελθόντων, τὸ ἑταιρικὸν πάλιν τὸ αὐτὸ ζωγράφημα ᾔτησεν, ὁ δὲ Δὰ Βίνζι ἄλλον τινὰ εἰκόνα ἔγραφεν, τὸ δὲ ἑταιρικὸν τὸ αὐτὸ ἢ τὸ πρότερον ᾔτησεν· τί ἐποίησε τότε ὁ ζωγραφεύς; ἐπὶ τοῦ νέου τὸ πρότερον πάλιν ἔγραψεν· τοῦτο δὲ τὸ ζωγράφημα (πότερον δεῖ λέγειν ἓν ἢ δύο;) νῦν ἐν τῷ Λόνδονι κεῖται.